# ΙΕΡΟΙ ΕΣΠΕΡΙΝΟΙ ΥΜΝΟΙ
# ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

**ΨΑΛΛΟΜΕΝΟΙ ΚΑΤΑ ΤΗΝ ΕΣΠΕΡΑΝ**
**ΤΗΣ 29 ΙΟΥΝΙΟΥ**
**ΗΜΕΡΑΝ ΤΗΣ ΜΝΗΜΗΣ ΤΩΝ ΚΟΡΥΦΑΙΩΝ ΠΑΥΛΟΥ ΚΑΙ ΠΕΤΡΟΥ**
ΕΙΣ ΑΝΑΜΝΗΣΙΝ
**ΤΗΣ ΕΛΕΥΣΕΩΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ ΕΝ ΕΛΛΑΔΙ**
ΕΟΡΤΑΙ ΔΙΟΡΓΑΝΩΘΕΙΣΑΙ
ΠΑΡΑ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ
ΕΝ ΑΘΗΝΑΙΣ, ΚΟΡΙΝΘΩ, ΘΕΣΣΑΛΟΝΙΚΗ, ΝΙΚΟΠΟΛΕΙ (ΠΡΕΒΕΖΗΣ)
ΒΕΡΡΟΙΑ, ΚΡΗΤΗ ΚΑΙ ΦΙΛΙΠΠΟΙΣ (ΚΑΒΑΛΛΑΣ)

ΕΚΔΙΔΟΝΤΑΙ ΔΑΠΑΝΑΙΣ
ΤΟΥ ΑΞΙΟΤΙΜΟΥ ΠΡΟΕΔΡΟΥ
κ. ΔΗΜΗΤΡΙΟΥ Χ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ

*«Οἱ Ἱεροὶ Ὕμνοι εἶναι αἱ ἀκούραστοι πτέρυγες δι᾿ ὧν ὁ ἄνθρωπος ἀνέρχεται εἰς τὰ ὕψη τῆς τελειότητος καὶ καθαρότητος, ὅπου ὁ Ἄναρχος Πατὴρ κατοικεῖ».*
*Ἰωάν. Χρυσόστομος.*

ΕΝ ΠΕΙΡΑΙΕΙ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΕΥΘ. Ν. ΠΡΟΥΚΑΚΙ
— 1935 —

ΑΦΙΕΡΟΥΤΑΙ

ΤΩ ΠΑΝΥΠΕΡΤΙΜΩ ΚΑΙ ΑΞΙΟΣΕΒΑΣΤΩ

ΠΡΟΕΔΡΩ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΖΗΛΩΤΗ ΤΩΝ ΠΑΤΡΙΩΝ

**κ. ΔΗΜΗΤΡΙΩ ΧΑΡ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΩ**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΠΩΣ ΚΑΘΙΕΡΩΘΗΣΑΝ ΑΙ ΕΟΡΤΑΙ
## ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΤΩΝ ΕΘΝΩΝ ΠΑΥΛΟΥ
## ΕΝ ΑΘΗΝΑΙΣ, ΚΟΡΙΝΘΩ, ΝΙΚΟΠΟΛΕΙ, ΚΡΗΤΗ, ΦΙΛΙΠΠΟΙΣ, ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΚΑΙ ΒΕΡΡΟΙΑ

**Τοῖς ἐντευξομένοις τὴν παροῦσαν Ἱερὰν Βίβλον ἀδελφοῖς Ἕλλησι τὴν προσήκουσαν πρόσρησιν, καὶ τὸν ἐγκάρδιον ἀσπασμόν.**

Ἐν ᾧ ὁ Ζῆλος καὶ ἡ φιλοτιμία διεγείρει πάντα φιλοπάτριδα διὰ τὴν δόξαν καὶ τὸ μεγαλεῖον τοῦ Ἔθνους του, πόσον ἡμᾶς τοὺς Ἕλληνας ἔχοντας τὴν ἐνδοξοτέραν ἱστορίαν πρὸ Χριστοῦ καὶ τὴν πανενδοξοτάτην Χριστιανικὴν ὡς ἐκλεκτοὶ καὶ προορισμένοι παρὰ τοῦ Θεοῦ κατόπιν τῆς ἀχαρίστου ἀποστασίας τοῦ Ἰσραήλ. Ὡς νέον ἐκλεκτὸν καὶ περιούσιον λαὸν τοὺς Ἕλληνας προφητεύει ὁ Δανιήλ (Κεφ. 8 π. 20). Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὅταν οἱ Ἕλληνες τὸν ἐπεσκέφθησαν ἐν Ἱεροσολύμοις Ἰωάννου Κεφ. 12 π. 20 ἀπεκρίθη πρὸς αὐτοὺς ἦλθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ δὲ θεῖος Παῦλος καὶ πρὸς τοὺς Ἀθηναίους ἀπολογούμενος ἐπικαλεῖται μετ' ἐγκωμίων τοὺς Ἕλληνας (Πραξ. τῶν Ἀποστόλων Κεφ. 17 π. 16) καὶ πρὸς Κορινθίους γράφων ἐξυμνεῖ τοὺς Ἕλληνας. Ἡ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν Κυρίῳ, (Κορινθ. Κεφ. 9 π. 2) τὸ δὲ σπουδαιότερον γεγονὸς εἶναι ὡς εἴπωμεν ἀνωτέρω ἡ ἐπαφὴ τῶν Ἑλλήνων Κρητῶν μετὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸ τοῦ Σωτηρίου πάθους, ὅτε ὁ Κύριος εἰπὼν τὸ ἐλύληθεν ἡ ὥρα, ἵνα λάβη τε γνῶσιν τῆς μεγαλειώδους ἐκείνης συναντήσεως παραθέτομεν τοῦ Ἀποστόλου Τίτου τὸν βίον ἑορταζομένου τὴν 25ην Αὐγούστου καὶ συνεορταζομένου μετὰ τοῦ θείου Παύλου τὴν 29ην Ἰουνίου παρὰ τῶν Ζηλωτῶν τοῦ ΧΡΙΣΤΟΥ ἐν Κρήτῃ.

### *Τίτου Ἐπισκόπου Γορτύνης τῆς κατὰ Κρήτην μαθητοῦ τοῦ Ἁγίου Ἀποστόλου Παύλου*

Τίτος ὁ μακάριος ἐκ Μίνωος τοῦ Βασιλέως Κρήτης εἷλκε τὸ γένος ὡς φησί Ζηνᾶς ὁ Νομικός, ὃ τὸν βίον αὐτοῦ συγγραψάμενος, οὗ μέμνη-

ται ὁ Ἅγιος Ἀπόστολος Παῦλος. Οὗτος οὖν ὁ μακάριος Τίτος, ἐν ἀρχῇ τοῦ βίου πολλὴν ἐπιδειξάμενος σπουδὴν εἰς τὴν παρὰ τοῖς Ἕλλησι θαυμαζομένην παιδείαν, ἤδη εἰκοσαετὴς γεγονός, ἀκούει φωνῆς ἄνωθεν ἐνεχθείσης αὐτῷ· Τίτε, λεγούσης, δεῖ σε ἐντεῦθεν ἐκδημῆσαι καὶ τὴν ψυχήν σου σῶσαι· οὐ γὰρ ὀνήσει σε ἡ παιδεία αὕτη. Ἔτι δὲ βουλόμενος τῆς αὐτῆς ἀκοῦσαι φωνῆς (ἤδει γὰρ τὰς ἐκ τῶν ἀγαλμάτων διὰ φωνῆς διδομένας πλάνας)· ἐπισχὼν ἔτι χρόνον μικρόν, προσετάχθη δι' ὁράματος τὴν τῶν Ἑβραίων βίβλον ἀναγνῶναι· καὶ λαβὼν τὴν τοῦ Ἡσαΐου βίβλον, εὗρεν ταύτην τὴν περικοπήν. Ἐγκαινίζεσθε πρὸς με νῆσοι πολλαί, Ἰσραὴλ σώζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον (Ἡσ κεφ. 10).

Ὁ οὖν Ἀνθύπατος Κρήτης, ὁ καὶ θεῖος τοῦ Ἁγίου Τίτου, ἀκούσας τὴν τοῦ Δεσπότου Χριστοῦ σωτήριον γέννησιν, καὶ τὰς θαυματουργίας, ἃς ἐν Ἱεροσολύμοις, καὶ ἑτέροις τόποις ἐποίη, συμβούλους τοὺς πρώτους τῶν ἐν Κρήτῃ λαβὼν ἀπέστειλε Τίτον ἐν Ἱεροσολύμοις, ὡς ἱκανὸν ὄντα ἀκουσαί τε, καὶ εἰπεῖν καὶ ἐξαγγεῖλαι τὰ ἀκουσθέντα. Ὁ δὲ παραγενόμενος, καὶ θεασάμενος, καὶ προσκυνήσας τὸν Δεσπότην Χριστόν, διέμεινεν ἐν Ἱεροσολύμοις καὶ τῶν θαυμάτων τοῦ Χριστοῦ γέγονε θεατής. Εἶδε δὲ καὶ τὰ σωτήρια πάθη αὐτοῦ καὶ τὴν ταφήν, καὶ τὴν Ἀνάστασιν καὶ τὴν θείαν Ἀνάληψιν, καὶ τὴν τοῦ Παναγίου Πνεύματος εἰς τοὺς Ἁγίους Ἀποστόλους ἐπιδημίαν καὶ κάθοδον, καὶ πιστεύσας συνηριθμήθη τοῖς ἑκατὸν εἴκοσι, καὶ τοῖς τρισχιλίοις, τοῖς πιστεύσασι τῷ Κυρίῳ διὰ τῆς τοῦ Κορυφαίου Πέτρου διδασκαλίας. Εἶτα χειροτονεῖται καὶ ἀποστέλλεται μετὰ Παύλου διδάσκων καὶ κηρύττων τὸ Εὐαγγέλιον.

Παραγίνεται οὖν μετ' αὐτοῦ εἰς Ἀντιόχειαν καὶ εἰς Σελεύκειαν καὶ Κύπρον καὶ Σαλαμῖνα καὶ Πάφον. Κακεῖθεν εἰς Πέργην τῆς Παμφυλίας, καὶ εἰς Ἀντιόχειαν τῆς Πισιδίας καὶ εἰς τὸ Ἰκόνιον, εἰς τὸν Ὀνησιφόρου οἶκον. Εἶτα εἰς Λύστραν καὶ Δέρβην, πανταχοῦ σὺν τῷ Ἀποστόλῳ Παύλῳ τὸν τοῦ Θεοῦ λόγον κηρύττων. Ρουστίλου δὲ τοῦ ἐπ' ἀδελφῇ ὑπάρχοντος Τίτῳ δεύτερον ἀνιόντος χρόνον εἰς τὴν τῆς Κρήτης ἀρχήν, παρεγένοντο ἐν αὐτῇ Παῦλος καὶ Τίτος ἔνθα Ἐκκλησίαν ἐδείμαντο. Ἐξελθόντες δὲ ἐκ τῆς Κρήτης, ἦλθον εἰς τὴν Ἀσίαν· κακεῖθεν συνεκδημεῖ τῷ Παύλῳ μέχρι τῆς ἐν Ρώμῃ αὐτοῦ ὑπὸ Νέρωνος ἀναιρέσεως.

Τὸ δὲ ἐντεῦθεν, ὑπέστρεψεν εἰς Κρήτην, κακεῖσε ἐπισκόπους καταστήσας καὶ πρεσβυτέρους, καὶ ἐν αὐτῇ ἀποστολικῶς διαπρέψας ἀνεπαύσατο ἐν Κυρίῳ. Ὁ δὲ σύμπας τῆς ζωῆς αὐτοῦ χρόνος γέγονεν ἔτη τέσσαρα καὶ ἐννενήκοντα· ἦν γὰρ ἐτῶν εἴκοσιν, ὅτε ἐκ Κρήτης παρεγένετο εἰς Ἱεροσόλυμα· καὶ ἕως τῆς Ἀναλήψεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐτέλεσεν ἕνα ἐνιαυτὸν καὶ διέτριψεν ἑτέρους δέκα, καὶ χειροτονηθεὶς Ἀπόστολος ὑπὸ τῶν κορυφαίων μαθητῶν τοῦ Χριστοῦ, διήνυσε κηρύττων τὸ





Εὐαγγέλιον ἔτη δέκα καὶ ὀκτώ, καὶ ἐν ταῖς λοιπαῖς νήσοις ἔτη ἓξ καὶ ἐν τῇ πατρίδι ἔτη λθ.΄ ἐκ δὲ τούτων ὁ τῶν εἰρημένων ἐτῶν ἀριθμὸς συγκεφαλαιοῦται. Ἰδοὺ ὁ βίος τοῦ ἐνδόξου Ἀποστόλου Τίτου ὅστις κατηξιώθη μετὰ τῶν Ἑλλήνων Κρητῶν νὰ ἐπισκευθῇ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ νὰ ἀκούσῃ τῆς μακαρίας φωνῆς Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου, νὰ παρίσταται εἰς τὴν κάθοδον τοῦ Παναγίου Πνεύματος μετὰ τῶνἄλλων Κρητῶν ὡς ἀναφέρουν αἱ πράξεις τῶν Ἀποστόλων τὴν ἡμέραν τῆς πεντικοστῆς Κρῆτες καὶ Ἄραβες.

Ὅθεν τοιούτων ἐνδόξων προγόνων ἀπόγονοι εὐγνωμονοῦντες τῷ Κυρίῳ δι' ἃς παρέλαβον οἱ Πατέρες ἡμῶν ἐντολὰς Εὐαγγελίου καὶ ἡμῖν παραδεδώκασιν ὅπως φυλάξωμεν τὴν ἱερὰν παρακαταθήκην, σεβόμενοι τὴν γλῶσσαν, τὴν Οὐράνιον θρησκείαν, τὴν τιμὴν καὶ πᾶν εὐγενὲς αἴσθημα, καὶ ὡς ἔχοντες ἀποστολὴν ἐν τῷ κόσμῳ κηρύξωμεν τὴν ἀληθινὴν ἀγάπην εἰς τὸ Ἔθνος ἡμῶν καὶ εἰς τὸν κόσμον ἅπαντα. Ὑπὸ τοιούτων θρησκευτικῶν αἰσθημάτων ὁρμώμενοι οἱ Ζηλωταὶ τοῦ Χριστοῦ καὶ πρὸ παντὸς ὁ ἀξιοσέβαστος Πρόεδρος κ. Δημήτριος Χ. Γιαννακόπουλος, διὰ κόπων καὶ μόχθων, διὰ διαλέξεων καὶ δημοσιευμάτων μὴ φισθεὶς δαπανῶν ἐκήρυξε πανταχοῦ τῆς ἑλληνικῆς πατρίδος τὴν προσύλωσιν περὶ τὰ Πάτρια ἁγνὰ καὶ τίμια καὶ τὴν ἀποφυγὴν καὶ ἀποσκοράκισιν πάντων τῶν ξένων καὶ ἐθνείων καὶ διὰ τοῦτο ἐδημιούργησε ἑορτὰς καὶ πανηγύρεις εἰς τὸν Ἀπόστολον τῶν Ἐθνῶν Παῦλον καὶ τῆς ἐλεύσεως αὐτοῦ εἰς τὴν Ἑλλάδα, Φιλίππους, Θεσσαλονίκην, Βέρροιαν, Ἀθήνας, Κόρινθον, Κρήτην, Νικόπολιν κλπ.

Καὶ κατ' ἀρχὴν δεχθῆσα ἡ Ἀρχιεπισκοπὴ Ἀθηνῶν, καθιερώθη νὰ ψάλλεται Μέγας Ἑσπερινὸς ἐν Ἀρείῳ Πάγῳ (Πνὺξ) παρὰ τῇ Ἀκροπόλει Ἀθηνῶν τὴν ἑσπέραν τῆς 29ης Ἰουνίου μνήμης τῶν Ἐνδόξων Ἀποστόλων Πέτρου καὶ Παύλου. Ὁμοίως καὶ εἰς τὴν παλαιὰν Κόρινθον καθὼς καὶ εἰς τὴν Νικόπολιν (Πρεβέζης), Φιλίππους. (Καβάλλας), Θεσσαλονίκην Βέρροιαν καὶ Κρήτην. Αἱ ἑορταὶ γίνονται μετ' ἀπεριγράπτου ἐνθουσιασμοῦ καὶ θρησκευτικοῦ ζήλου πανδήμου, ἐθνικῶς καὶ πνευματικῶς ὠφελουμένων τῶν προσερχομένων μὲ ἀφάνταστον Ἐθνικὴν καὶ Χριστιανικὴν ἑνότητα.

Τοιαύτη ἦν ἡ ἐργασία τῶν Ζηλωτῶν τοῦ Χριστοῦ ὡς πρὸς τὰς διοργανωθείσας ἑορτὰς τοῦ Ἀποστόλου Παύλου, αἱ ὁποῖαι ἐὰν ἐστοίχισαν ὑπὲρ τὰς (500.000) πεντακοσίας χιλιάδας δραχμῶν ἡ Ἐθνικὴ καὶ Θρησκευτικὴ ὠφέλεια εἶναι καὶ ἔσται μεγίστη, ἐνῷ ἡ ὀργανωθεῖσα ἑορτὴ τῶν Δελφικῶν εἰς μὲν τὴν πρώτην ἡ δαπάνη ὑπερέβη τὰ (5) πέντε ἑκατομμύρια, εἰς τὸ ζεῦγος Σικελιανοῦ ἡ δὲ Ἑλληνικὴ Κυβέρνησις ἐνίσχυσε ψηφίσασα (10) δέκα ἑκατομμύρια, ἡ δὲ ὠφέλεια μηδέν.

῞Οθεν τὴν παροῦσαν βίβλον ἐκδίδοντες τὴν περιέχουσαν τὰς ἱερὰς ἀκολουθίας τὰς κατὰ τόπους καὶ πόλεις ψαλλομένας δι' ὧν διῆλθε παρέμεινε καὶ ἐδίδαξεν ὁ θεῖος Παῦλος, ἀνατιθέμεθα αὐτὴν εἰς ἡμᾶς τοὺς εἰς τὰ Πάτρια ἀφοσιωμένους ἀδελφούς, ἐπευχόμενοι ἐνταυτῷ ἐγκαρδίως τὴν εἰς πάντα τὰ σπουδαῖα ἡμῶν πρόοδον, τὴν παντὸς ἀγαθοῦ ἀπόλαυσιν διηνεκῆ σώματος ὑγείαν, καὶ τέλος τὴν τῆς ψυχῆς σωτηρίαν ὑμῖν ἅπασι καὶ πρὸς κοινὴν τιμὴν καὶ εὐημερίαν ὁλοκλήρου τοῦ Ἑλληνορθοδόξου πληρώματος, καὶ πρὸς ἰδιαιτέραν χαρὰν ἡμῶν τῶν ὑπογραφομένων πατρικῶς καὶ ἀδελφικῶς φίλων Σας Ζηλωτῶν τοῦ ΧΡΙΣΤΟΥ.

Ἐν Πειραιεῖ τῇ 1 Ἰουνίου 1935

*Δημήτριος Χαρ. Γιαννακόπουλος*
*Ἰωάννης Α. Ἀλεξάκης*

ΔΑΠΑΝΑΙΣ: ΔΗΜ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ

# ΤΟ ΠΡΟΓΡΑΜΜΑ

## ΤΗΣ ΠΡΩΤΗΣ ΚΑΙ ΜΕΓΑΛΗΣ ΕΟΡΤΗΣ ΕΠΙ ΤΟΥ ΛΟΦΟΥ ΤΟΥ ΑΡΕΙΟΥ ΠΑΓΟΥ

## ΠΑΡΑ ΤΗ ΑΚΡΟΠΟΛΕΙ ΑΘΗΝΩΝ

**Ὑπὸ τοῦ Προέδρου τῶν Ζηλωτῶν τοῦ Χριστοῦ κ.** ΔΗΜ. Χ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ **καὶ τοῦ Γραμματέως κ.** ΙΩΑΝΝΟΥ ΑΛΕΞΑΚΗ **τῇ συμμετοχῇ τοῦ Ἀρχιεπισκόπου Ἀθηνῶν καὶ τῶν Θρησκευτικῶν καὶ Ἐπαγγελματικῶν Σωματείων, τῶν Δημοτικῶν Ἀρχῶν, τοῦ Ἱεροῦ Κλήρου, τῶν Σχολείων Ἀθηνῶν, Πειραιῶς καὶ Περιχώρων.**

ΕΙΣ ΑΝΑΜΝΗΣΙΝ ΤΗΣ ΕΛΕΥΣΕΩΣ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΤΩΝ ΕΘΝΩΝ **ΠΑΥΛΟΥ**
**ΕΝ ΑΘΗΝΑΙΣ, ΚΑΙ ΤΗΣ ΑΠΟΛΟΓΙΑΣ ΑΥΤΟΥ ΕΠΙ ΤΟΥ ΙΕΡΟΥ ΒΡΑΧΟΥ ΤΟΥ ΑΡΕΙΟΥ ΠΑΓΟΥ**

Ἐπὶ τῇ βάσει τῆς ὁποίας τὸ Ἑλληνικὸν Ἔθνος ἀπεδέχθη τὸν Χριστιανισμόν, ἔτι δὲ εἰς ἀνάμνησιν τῶν σοφῶν καὶ εὐγενῶν Ἀθηναίων Διονυσίου τοῦ Ἀρεοπαγίτου καὶ τῆς φιλοσόφου γυναικὸς Δαμάρεως τῶν ἀκουσάντων καὶ πιστευσάντων τὸ πρῶτον Χριστιανικὸν κήρυγμα. Ἡ χορωδεία Ἀθηνῶν θὰ ψάλλῃ εἰς αὐστηρὰν Βυζαντινὴν μουσικὴν ὕμνους τῆς ἑορτῆς ἐκ τῆς ἀπολογίας τοῦ θείου Παύλου.

Παρακαλοῦνται πάντες οἱ Χριστιανοὶ Ἀθηνῶν Πειραιῶς, Περιχώρων καὶ Ἐπαρχιῶν ὅπως τιμήσωσι μετὰ τῶν οἰκογενειῶν των τὴν πρώτην καὶ μεγάλην ταύτην Ἑορτὴν καὶ Πανήγυριν τὴν 29ην ΙΟΥΝΙΟΥ 1925 ΕΟΡΤΗΝ ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΓΩΝ ΠΕΤΡΟΥ ΚΑΙ ΠΑΥΛΟΥ ἡμέραν Δευτέραν καὶ ὥραν 6ην ἀπογευματινήν.

ΕΙΣΟΔΟΣ ΕΛΕΥΘΕΡΑ

**Εὐπειθέστατοι**

Ὁ Πρόεδρος τῶν Ζηλωτῶν τοῦ Χριστοῦ
ΔΗΜ. Χ. ΓΙΑΝΝΑΚΟΠΟΠΛΟΣ

Ὁ Γραμματεὺς
ΙΩΑΝΝΗΣ ΑΛΕΞΑΚΗΣ

Πειραιεὺς 1η Ἰουνίου 1925.

ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

**Ψαλλομένη ἐν τῷ Ἀρείῳ Πάγῳ παρὰ τῇ Ἀκροπόλει Ἀθηνῶν**

---

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

***Εἰς τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχους ϛ΄. καὶ ψάλλομεν τὰ παρόντα τρία.***

**Ἦχος Β΄. Ποίοις εὐφημιῶν**, ΥΠΟ ΑΝΔΡΕΟΥ ΠΥΡΟΥ

Ποίοις εὐφημιῶν στέμασιν, ἀναδήσωμεν Πέτρον καὶ Παῦλον; τοὺς διῃρημένους τοῖς σώμασι, καὶ ἡνωμένους τῷ Πνεύματι, τοὺς θεοκηρύκων πρωτοστάτας· τὸν μέν, ὡς τῶν Ἀποστόλων προεξάρχοντα, τὸν δὲ ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα· τούτους γὰρ ὄντως ἀξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν Πέτρον καὶ Παῦλον; τῆς Θεογνωσίας τὰς πτέρυγας, τὰς διαπτάσας τὰ πέρατα, καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας, τὰς χεῖρας, Εὐαγγελίου τοῦ τῆς χάριτος, τοὺς πόδας, τῆς ἀληθείας τοῦ κηρύγματος, τοὺς ποταμοὺς τῆς σοφίας, τοῦ Σταυροῦ τὰ κέρατα· δι᾿ ὧν δαιμόνων ὀφρύν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον; τὰ τὴν ἀθεότητα σφάττοντα, καὶ μὴ ἀμβλυνόμενα στόματα, τῆς φρικτῆς τοῦ Πνεύματος μαχαίρας, τὰ Ῥώμης, περιφανῆ ἐγκαλλωπίσματα· τὰ πάσης τῆς οἰκουμένης ἐντρυφήματα· τὰς τῆς Καινῆς Διαθήκης, θεογράφους πλάκας νοουμένας ἃς ἐν Σιών, Χριστὸς ἐξεφώνησεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΗΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΥΡΟΥ

**Ἕτερα τρία. Ἦχος πλ. α΄. Χαίροις ἀσκυτικῶν.**

ΥΠΟ ΙΩΑΝ. ΑΛΕΞΑΚΗ

Παῦλος ὁ ἐξ Ὑψίστου κληθεὶς ἀποκαλῦψαι ἀγνοοῦσιν ἀλήθειαν, ἐν μέσῳ Ἀρείῳ Πάγῳ ἀνακηρύξας λαμπρῶς, τοῦ Χριστοῦ τὴν Θείαν ἐξανάστασιν: Διό, ὁ μακάριος τοῖς σοφοῖς ἀνεβόησε, Ὦ Ἀθηναῖοι καὶ Ἑλλήνων οἱ πρόκριτοι, δεῦτ' ἀκούσατε παρ' ἐμοῦ θεῖα ρήματα. Ἄγνωστον δὲ γνωρίσητε, Θεὸν ὑπεράγαθον, τὸν ἀναστάντα ἐκ τάφου, ὃν ἀγνοοῦντες λατρεύετε, Χριστὸν τὸν Σωτῆρα, ἐκ Θεοῦ ἡμῖν ὀφθέντα, ὃν μεγαλύνομεν.

Δεῦρο τῶν Ἀθηναίων πληθύς, τῶν Κορινθίων τὸ φιλέορτον σύστημα, καὶ πᾶσαι Ἑλλάδος πόλεις, τὸν κορυφαῖον πιστῶς, Θεῖον Παῦλον ὕμνοις εὐφημίσωμεν, τὸ στόμα τῆς χάριτος, τὸ τοῦ Πνεύματος ὄργανον, τὸν ἕως τρίτον Οὐρανὸν καταφθάσαντα, εἰς παράδεισον ἁρπαγέντα τῇ χάριτι. Ὅθεν ἀναφθεγγόμενος, τὰ ἄρρητα ῥήματα, σὺν τοῖς Ἀγγέλοις ἐν δόξῃ τῇ τρισηλίῳ Θεότητι, ἡμῖν δὲ αἰτεῖται σωτηρίαν καὶ εἰρήνην, καὶ μέγα ἔλεος.

**Ἕτερον τοῦ Ἁγίου Διονυσίου.**

Χαίροις τῶν ὑπὲρ νοῦν ἑρμηνῶν· τὸ πετεινὸν τοῦ Οὐρανοῦ Διονύσιε. Ὁ πᾶσαν τῶν οὐρανίων, καὶ ἀσωμάτων νοῶν, τὴν ἱεραρχίαν καὶ τὰ τάγματα, τὸ κάλλος τὸν ἔρωτα, τῶν ἀρρήτων ἐλλάμψεων, τὴν συντονίαν πρὸς τὴν ἄνω Θεότητα, ὑψηλότητα, ζωγραφήσας καὶ κάλλιστα, Ἄνθρωπε ἐπουράνιε· Ἐπίγειε ἄγγελε, ἱεραρχῶν ἡ ἀκρότης τῶν Ἀποστόλων ἰσότιμε. Χριστὸν μὴ ἐλλίπῃς ἱκετεύειν ὑπὲρ πάντων τῶν εὐφημούντων σε.

**Δόξα. Ἦχος πλ. α΄.**

Δεῦτε Ἀθηναίων τὰ πλήθη, δεῦτε φιλαποστόλων ὁμήγυρις, δεῦτε καταστέψωμεν ᾄσμασιν τὸν θεηγόρον, καὶ ὑπηρέτην τοῦ λόγου Παῦλον τὸν ἀΐδοιμον. Σήμερον εὐφραίνονται πόλεις τῆς Ἑλλάδος αἱ δεξάμεναι αὐτόν, καὶ φωτισθεῖσαι ταῖς θείαις ὑφηγορίαις, ἀγάλλονται Φίλιπποι, Θεσσαλονίκη, Βέρροια καὶ Ἀθῆναι αἱ περίλαμπροι. Κρήτη καὶ Νικόπολις καὶ Ἀχαΐα καὶ ἡ ἔνδοξος Κόρινθος, καὶ πᾶσα ἡ οἰκουμένη. Δι' ὃ καὶ ἡμεῖς οἱ δι' αὐτοῦ φωτισθέντες, πρὸς τὸν Σωτῆρα βοῶμεν. Κύριε πρεσβείαις τοῦ Ἀποστόλου, τὸν κόσμον εἰρήνευσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.





**Καὶ νῦν. Θεοτοκίον.**

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. Τότε τὸν βυθὸν ἐπέζευσεν, ἀβρόχως Ἰσραήλ· νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος· Ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὤν, καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

***Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας.***

ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ.—***Πράξεων τῶν Ἀποστόλων τὸ ἀνάγνωσμα.***

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐν ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. Τινὲς δὲ τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ· καί τινες ἔλεγον· Τί ἂν θέλει ὁ σπερμολόγος οὗτος λέγειν; Οἱ δὲ Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ τὴν Ἀνάστασιν αὐτοῖς εὐηγγελίζετο. ἐπιλαβόμενοι τε οἱ Ἀθηναῖοι τοῦ Παύλου, ἐπὶ τὸν Ἄρειον Πάγον ἤγαγον, λέγοντες. Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι. (Ἀθηναῖοι δὲ πάντες, καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον). Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου, ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. Διερχόμενος γάρ, καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμόν, ἐν ᾧ ἐπεγέγραπτο,



ΚΟΡΓΙΑΛΕΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΑΙ ΠΙΝΑΚΟΘΗΚΗ ΓΕΡΑΣΙΜΟΣ ΡΗΤΟΡΗΣ ΠΑΠΑΓΑΛΟΥ

Ἀγνώστῳ Θεῷ. Ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. Ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται, προσδεόμενός τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα· ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικείας αὐτῶν· ζητεῖν τὸν Κύριον, εἰ ἄρά γε ψηλαφήσειαν αὐτὸν, καὶ εὕροιεν· καίτοιγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμέν· ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι. Τοῦ γὰρ καὶ γένος ἐσμέν· γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ Θεῖον εἶναι ὅμοιον. Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεός τανῦν παραγγέλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν· διότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλει κρίνει τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ἐν ἀνδρὶ ᾧ ὥρησε, πίστην παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν οἱ μὲν ἐχλεύαζον· οἱ δὲ εἶπον· Ἀκουσόμεθά σου πάλιν περὶ τούτου. Καὶ οὕτως ὁ Παῦλος ἐξῆλθε ἐκ μέσου αὐτῶν. Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

ΕΥΑΓΓΕΛΙΟΝ.—**Ἐκ τοῦ κατὰ Ἰωάννην.**

(ιβ'. 17—50).

Τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρει ὁ ὄχλος, ὁ ὢν μετὰ τοῦ Ἰησοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν. **Ἦσαν δέ τινες Ἕλληνες** ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτόν, λέγοντες· Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ καὶ





πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ· Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων. Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.

ΑΠΟΣΤΙΧΑ. **Ἦχος α'.** ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τίς διηγήσεται ἔνδοξε Ἀπόστολε Παῦλε; ἢ τίς παραστήσῃ τοὺς ἀγῶνας, καὶ τοὺς κόπους σου, οὓς ἐκοπίασας ἐν τῷ Εὐαγγελίῳ τοῦ ΧΡΙΣΤΟΥ ἵνα κόσμῳ κερδίσῃς καὶ ΧΡΙΣΤΩ προσαγάγῃς τὴν ΕΚΚΛΗΣΙΑΝ ἀλλὰ ταύτην αἴτησαι φυλάττειν τὴν καλήν σου ὁμολογίαν μέχρι τελευταίας ἀναπνοῆς, ΠΑΥΛΕ ΑΠΟΣΤΟΛΕ καὶ διδάσκαλε τῶν ΕΚΚΛΗΣΙΩΝ.

ΣΤΙΧ.—**Εἰς πᾶσαν τὴν γῆν.**

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου τίς διηγήσεται ἔνδοξε ΑΠΟΣΤΟΛΕ ΠΑΥΛΕ; τοὺς κόπους, τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ γυμνότητι, τὴν σαργάνην, τοὺς ῥαβδισμούς, τοὺς λιθασμοὺς τὴν περίοδον, τὸν βυθόν, τὰ ναυάγια, θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Πάντα οὖν ὑπέμεινας ἐν τῷ ἐνδυναμοῦντι σε ΧΡΙΣΤΩ ἵνα κόσμον κερδίσῃς, ἐν ΧΡΙΣΤΩ ΙΗΣΟΥ τῷ Κυρίῳ σου. Δι' ὃ δυσωποῦμεν σέ, οἱ τελοῦντες τὴν μνήμην σου, πιστῶς, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος Βαρύς.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ.

Σήμερον εὐφραίνεται ἡ πόλις τῶν Ἀθηναίων, ἡ παμφαὴς καὶ περίσοφος, καὶ λαμπροτέρα τοῦ κόσμου. Σήμερον τὸ σκεῦος τῆς ἐκλογῆς τοῦ Χριστοῦ, Παῦλος ὁ ἀοίδημος, ἐν Ἀθήναις παραγενόμενος Ἀθηναίοις ἐβόησε· Ἄνδρες Ἀθηναῖοι καὶ πάντες Ἕλληνες, ὃν ἀγνοοῦντες εὐσεβεῖτε Θεόν, τοῦτον ἐγὼ ὑμῖν κηρύσσω, τὸν πρὸ αἰώνων φωτίσαντα ὑμᾶς, καὶ νῦν καλέσαντα, ἵνα κηρύξητε Αὐτόν, ἐν τοῖς Ἔθνεσιν.

**Καὶ νῦν. Θεοτοκίον. ὁ αὐτός.**

Ὑπὸ τὴν σὴν Δέσποινα σκέπην, πάντες οἱ γηγενεῖς προσπεφευ-

γότες βοῶμεν σοι, Θεοτόκε ἡ ἐλπὶς ἡμῶν, ῥῦσαι ὑμᾶς ἐξ ἀμέτρων πταισμάτων, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

*Νῦν ἀπολύεις.—Τρισάγιον*

ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος δ΄.**

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**Ἕτερον τοῦ Ἀποστόλου Παύλου.**

**Ἦχος α΄. Τοῦ Λίθου σφραγισθέντος.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

Τοῦ Παύλου ἀγομένου ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐν Ἀρείῳ Πάγῳ κηρύξαι παρησίᾳ, τὸν ἄγνωστον αὐτοῖς Θεόν, Χριστὸν τὸν ἀναστάντα ἐκ νεκρῶν. Διὰ τοῦτο αἱ χορεῖαι τῶν εὐσεβῶν ἐβόων τῷ Θεηγόρῳ. Δόξα τῷ σὲ δοξάσαντι, δόξα τῷ σὲ θαυμαστόσαντι, δόξα τῷ φωτισαμένῳ σε, ἡμῖν Θεῖα διδάγματα.

**Ἕτερον, τοῦ Ἁγίου Διονυσίου. Ἦχος ὁ αὐτός.**

Τοῦ Παύλου μαθητὴν τε καὶ τῆς Οἰκουμένης διδάσκαλον, τὸν τῶν Ἀθηνῶν ἱεράρχην καὶ κήρυκα τῆς πίστεως, τὸν μέγαν καὶ πάνσοφον πιστοί, ἐκφάντορα τῶν μυστηρίων τοῦ Χριστοῦ, Διονύσιον ἐν ὕμνοις χρεωστικῶς ἀνευφημήσωμεν ἅπαντες, τὸν βλύσαντα ὡς νάματα ἡμῖν, διδάγματα ἔνθεα σαφῶς, καὶ Θεὸν τῷ βίῳ εὐφράναντα, τὸν μόνον πολυέλεον.

**Ἕτερον εἰς τὴν Ἀθηναίαν Θείαν Δάμαριν.**

**Ἦχος Γ΄. Θείας πίστεως.**

Τὴν μαθήτριαν τοῦ Θείου Παύλου, καὶ τὸ καύχημα τῶν Ἀθηναίων ἀνευφημήσωμεν πιστοὶ θείαν Δάμαριν, ἀκουσαμένη τὰ θεῖα διδάγματα, προσκοληθεῖσα τῷ Παύλῳ ἡ πάνσοφος. Ὅθεν σήμερον τὴν μνήμην αὐτῆς γεραίροντες, αἰτούμεθα παρὰ Χριστοῦ τὸ μέγα ἔλεος.



ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



**Δόξα.** ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος γ΄.**

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ΄.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, ὁ Υἱός σου, καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

ΚΑΙ ΑΠΟΛΥΣΙΣ

# ΥΜΝΟΛΟΓΙΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

## ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ ΕΝ ΠΑΛΑΙΑ ΚΟΡΙΝΘΩ

---

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

***Εἰς τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν τὰ παρόντα τρία. Ἦχος β΄.***

**Ποίοις Εὐφημιῶν.** ΑΝΔΡΕΟΥ ΠΥΡΟΥ

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν Πέτρον καὶ Παῦλον; τοὺς διῃρημένους τοῖς σώμασι, καὶ ἡνωμένους τῷ Πνεύματι, τοὺς θεοκηρύκων πρωτοστάτας· τὸν μέν, ὡς τῶν Ἀποστόλων προεξάρχοντα τὸν δέ, ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα· τούτους γὰρ ὄντως ἀξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν Πέτρον καὶ Παῦλον; τῆς Θεογνωσίας τὰς πτέρυγας, τὰς διαπτάσας τὰ πέρατα, καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας, τὰς χεῖρας, Εὐαγγελίου τοῦ τῆς χάριτος, τοὺς πόδας τῆς ἀληθείας τοῦ κηρύγματος, τοὺς ποταμοὺς τῆς σοφίας, τοῦ Σταυροῦ τὰ κέρατα· δι' ὧν δαιμόνων ὀφρύν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον; τὰ τὴν ἀθεότητα σφάττοντα, καὶ μὴ ἀμβλυνόμενα στόματα, τῆς φρικτῆς τοῦ Πνεύματος μαχαίρας, τὰ Ῥώμης, περιφανῆ ἐγκαλλωπίσματα· τὰ πάσης τῆς οἰκουμένης ἐντρυφήματα· τὰς τῆς Καινῆς Διαθήκης, θεογράφους πλάκας, νοουμένας ἃς ἐν Σιών, Χριστὸς ἐξεφώνησεν, ὁ ἔχων τὸ μέγα ἔλεος.



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



**Καὶ τὰ ἑπόμενα τρία.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

**Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.**

Τῶν Κορινθίων τὰ πλήθη, δεῦτε συνδράμωμεν, ἐν τῇ πανσέπτῳ μνήμῃ τοῦ σοφοῦ Ἀποστόλου καὶ θείου Διδασκάλου τῆς τοῦ Χριστοῦ, Ἐκκλησίας τὸ στήριγμα, ἀξιωθέντες τῶν θείων Ἐπιστολῶν, ἃς λαβόντες ἀγαλλώμεθα.

Ἐν τῇ πανσέπτῳ σου μνήμῃ, Παῦλε Ἀπόστολε, τῶν Κορινθίων πᾶσα, ἡ πληθὺς ἀνακράζει, αἴτησαι εἰρήνην ἡμῖν σοφέ, ἐκ Θεοῦ Παντοκράτορος, ἀπὸ σεισμοῦ βαρυτάτου καὶ ἀπειλῆς, καὶ δεινῶν ἡμᾶς λυτρούμενος.

Ἐν Παύλῳ Πέτρος ἐν Πέτρῳ Παῦλος εὑρίσκεται, τῇ γὰρ Χριστοῦ ἀγάπῃ, συνημμένοι ἀλλήλοις, φρόνημα καὶ πνεῦμα, ἓν ἀληθῶς, κατὰ πάντα ἐκτήσαντο, ἀλλ' ἐν ἀγάπῃ συνάπτεσθαι καὶ ἡμᾶς. Μαθηταὶ Χριστοῦ πρεσβεύσατε.

**Δόξα. Ἦχος α΄. Τὴν παγκόσμιον δόξαν.**

Τὸν πανεύφημον μύστην, τὸν ἐξ Ὑψίστου κληθέντα, καὶ εἰς τὰ ἔθνη πεμφθέντα, τὸν ὑπηρέτην τοῦ λόγου, τιμήσωμεν ἐν ὕμνοις, θεῖον Παῦλον, τῶν Ἀποστόλων τὸ κλέος, καὶ τῆς Κορίνθου ἀγλάϊσμα. Οὗτος γὰρ τῇ χάριτι εἰς οὐρανόν, τὴν πορείαν ἐποιήσατο, οὗτος τὸ μεσότειχον τῆς πλάνης διαλύσας, τὰ ἔθνη σαγηνεύσας, πρὸς τὸν Θεὸν ἐπανήγαγε, τοῦτον οὖν κατέχοντες, τῆς πίστεως τὸν κήρυκα, ὑπέρμαχον ἔχομεν, τὸν δι' ἡμᾶς ὀφθέντα Κύριον, θαρσεῖτε πάντες, θαρσεῖτε λαοὶ τῶν πιστῶν, καὶ γὰρ αὐτὸς ἱκετεύει τὸν Χριστὸν τὸν ὑπεράγαθον.

**Καὶ νῦν. Θεοτοκίον.**

Τὴν Παγκόσμιον δόξαν τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς Θεότητος. Αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ Βασίλειον ἠ-

νέωξε. Ταύτην οὖν κατέχοντες τῆς Πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν· θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς **πολεμήσῃ τοὺς ἐχθροὺς** ὡς παντοδύναμος.

***Εἴσοδος.—Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας.***

**Τέσσαρες Ἀπόστολοι, Τὸ Ἱερὸν Εὐαγγέλιον κλπ.**

ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ

***Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. Κεφ. ΙΗ.***

Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν **Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον· καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν** τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῆς Ρώμης, προσῆλθεν αὐτοῖς, **καὶ διὰ τὸ ὁμότεχνον εἶναι ἔμεινεν παρ' αὐτοῖς καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τῇ τέχνῃ·** διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν Σάββατον, ἔπειθέ τε **Ἰουδαίους καὶ Ἕλληνας.** Ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν, ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε πρὸς αὐτούς· τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν καθαρὸς ἐγώ· ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι. καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. **Κρίσπος δὲ ὁ ἀρχησυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες ἐπίστευον καὶ ἐβαπτίζοντο.** Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ σιωπήσῃς, διότι ἐγὼ εἰμὶ μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ· ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἓξ διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

***Πρὸς Κορινθίους Α.' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.***

Ἀδελφοί, γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε· πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. Παρακαλῶ δὲ ὑμᾶς, **ἀδελφοί, οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας,** καὶ εἰς διακονίαν τοῖς Ἁγίοις ἔταξαν ἑαυτούς· ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις, καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν· ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν· ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. Ἀσπάζονται ὑμᾶς αἱ Ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα, σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ. Ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, **ἤτω ἀνάθεμα μαραναθά.** Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ἡμῶν. Ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.





***Πρὸς Κορινθίους Β'. Ἐπιστ. Παύλου τὸ Ἀνάγνωσμα.***

Ἀδελφοὶ τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, **Κορίνθιοι** ἡ καρδία ἡμῶν πεπλάτυνται. Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν; στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. Τὴν δὲ αὐτὴν ἀντιμισθίαν (ὡς τέκνοις λέγω), πλατύνθητε καὶ ὑμεῖς. Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; Τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; Ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; Τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστὲ ζῶντος, καθὼς εἶπεν ὁ Θεός.

***Πρὸς Κορινθίους Α'. Ἐπιστ. Παύλου τὸ Ἀνάγνωσμα.***

Ἀδελφοί, παρακαλῶ ὑμᾶς δια τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσί. Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· Ἐγὼ μὲν εἰμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. Μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; Εὐχαριστῶ τῷ Θεῷ, ὅτι οὐδένα ἡμῶν



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣ...

ἐβάπτισα, εἰμὴ **Κρίσπον** καὶ **Γάϊον,** ἵνα μή τις εἴπῃ, ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. Ἐβάπτισα δὲ καὶ τὸν **Στεφανᾶ** οἶκον· λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. Οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

ΕΥΑΓΓΕΛΙΟΝ.—**Ἐκ τοῦ κατὰ Ἰωάννην.** (ιβ'. 17—50).

Τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρει ὁ ὄχλος, ὁ ὢν μετὰ τοῦ Ἰησοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

**Ἦσαν δέ τινες Ἕλληνες** ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτόν, λέγοντες· Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ· καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων· Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.

ΑΠΟΣΤΙΧΑ. **Ἦχος α'.** ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τίς διηγήσεται ἔνδοξε Ἀπόστολε Παῦλε; ἢ τίς παραστήσῃ τοὺς ἀγῶνας, καὶ τοὺς κόπους σου, οὓς ἐκοπίασας ἐν τῷ Εὐαγγελίῳ τοῦ ΧΡΙΣΤΟΥ ἵνα κόσμῳ κερδίσῃς καὶ ΧΡΙΣΤΩ προσαγάγῃς τὴν ΕΚΚΛΗΣΙΑΝ ἀλλὰ ταύτην αἴτησαι φυλάττειν τὴν καλήν σου ὁμολογίαν μέχρι τελευταίας ἀναπνοῆς, ΠΑΥΛΕ ΑΠΟΣΤΟΛΕ καὶ διδάσκαλε τῶν ΕΚΚΛΗΣΙΩΝ.

**Στιχ. Εἰς πᾶσαν τὴν γῆν.**

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου τίς διηγήσεται ἔνδοξε ΑΠΟΣΤΟΛΕ ΠΑΥΛΕ; τοὺς κόπους τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ γυμνό-





τητι, τὴν σαργάνην, τοὺς ῥαβδισμούς, τοὺς λιθασμούς, τὴν περίοδον, τὸν βυθόν, τὰ ναυάγια. Θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Πάντα οὖν ὑπέμεινας ἐν τῷ ἐνδυναμοῦντι σε ΧΡΙΣΤΩ ἵνα κόσμον κερδίσῃς, ἐν ΧΡΙΣΤΩ ΙΗΣΟΥ τῷ Κυρίῳ σου. Δι' ὃ δυσωποῦμέν σε, οἱ τελοῦντες τὴν μνήμην σου, πιστῶς, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. α'.** ΥΠΟ ΙΩ. ΑΔΕΞΑΚΗ

Δεῦτε **Κορινθίων** τὰ πλήθη, δεῦτε φιλαποστόλων ὁμήγυρις, δεῦτε καταστέψωμεν ᾄσμασιν τὸν θηγόρον, καὶ ὑπηρέτην τοῦ λόγου Παῦλον τὸν ἀΐδημον. Σήμερον εὐφραίνονται πόλεις τῆς Ἑλλάδος αἱ δεξάμεναι αὐτόν, καὶ φωτισθεῖσαι ταῖς θείαις ὑφηγορίαις, ἀγάλλονται Φίλιπποι, Θεσσαλονίκη, Βέρροια καὶ Ἀθῆναι αἱ περίλαμπροι. Κρήτη καὶ Νικόπολις καὶ Ἀχαΐα καὶ ἡ ἔνδοξος Κόρινθος, καὶ πᾶσα ἡ οἰκουμένη, Δι' ὃ καὶ ἡμεῖς οἱ δι' αὐτοῦ φωτισθέντες, πρὸς τὸν Σωτῆρα βοῶμεν Κύριε πρεσβείαις τοῦ Ἀποστόλου, τὸν κόσμον εἰρήνευσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

***Νῦν Ἀπολύεις τὸν δοῦλόν σου.—Τρισάγιον.***

ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος δ'.**

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΑΠΟΛΥΤΙΚΙΟΝ ΤΟΥ ΠΑΥΛΟΥ ΕΝ ΚΟΡΙΝΘΩ

**Ἦχος γ'. Τὴν ὡραιότητα.**

Ἡ κοσμοφήμητος πόλις ἡ Κόρινθος, ἡ δεξαμένη σὲ Παῦλε Ἀπόστολε καὶ φωτισθεῖσα διὰ Σοῦ ταῖς θείαις ὑφηγορίαις, σήμερον εὐ-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

φραίνεται, εὐφημοῦσα ἐν ᾄσμασι, Σὲ τὸν θεορρήμονα τοῦ Κυρίου Ἀπόστολον, δι᾽ ὃ καὶ εὐχαρίστως κραυγάζει Σοι. Χαῖρε κρηπὶς τῶν Ἀποστόλων.

**Δόξα.** ΑΠΥΤΙΚΙΟΝ. **Ἦχος γ'.**

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ'.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, ὁ Υἱός σου, καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

ΚΑΙ ΑΠΟΛΥΣΙΣ

ΔΑΠΑΝΑΙΣ: ΔΗΜ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ

# ΥΜΝΟΛΟΓΙΑ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

## ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ ΕΝ ΝΙΚΟΠΟΛΕΙ 1934

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

***Εἰς τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν τὰ παρόντα τρία. Ἦχος β'.***

**Ποίοις εὐφημιῶν.** ΑΝΔΡΕΟΥ ΠΥΡΟΥ

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν Πέτρον καὶ Παῦλον; τοὺς διῃρημένους τοῖς σώμασι, καὶ ἡνωμένους τῷ Πνεύματι, τοὺς θεοκηρύκων πρωτοστάτας· τὸν μέν, ὡς τῶν Ἀποστόλων προεξάρχοντα τὸν δέ, ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα· τούτους γὰρ ὄντως ἀξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν Πέτρον καὶ Παῦλον; τῆς Θεογνωσίας τὰς πτέρυγας, τὰς διαπτάσας τὰ πέρατα, καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας, τὰς χεῖρας, Εὐαγγελίου τοῦ τῆς χάριτος, τοὺς πόδας τῆς ἀληθείας τοῦ κηρύγματος, τοὺς ποταμοὺς τῆς σοφίας, τοῦ Σταυροῦ τὰ κέρατα· δι᾽ ὧν δαιμόνων ὀφρύν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον; τὰ τὴν ἀθεότητα σφάττοντα. καὶ μὴ ἀμβλυνόμενα στόματα, τῆς φρικτῆς τοῦ Πνεύματος μαχαίρας, τὰ Ῥώμης, περιφανῆ ἐγκαλωπίσματα· τὰ πάσης τῆς οἰκουμένης ἐντρυφήματα· τὰς τῆς Καινῆς Διαθήκης θεογράφους πλάκας νοουμένας ἃς ἐν Σιών, Χριστὸς ἐξεφώνησεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΕΤΕΡΑ ΤΡΙΑ ΤΟΥ ΠΑΥΛΟΥ.—ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

**Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.**

Τῇ Οὐρανίῳ ἐλάμψει καταλαμπόμενος, ὑπὲρ τὸ φῶς Ἡλίου οὐρανόθεν σὺ ἔφη, Σαοὺλ τί μὲ διώκεις; τὸν λυτρωτὴν καὶ οἰκτήρμονα Κύριον, τὸν ἀναστάντα ἐκ τάφου σωματικῶς, Ἰησοῦν τὸν Ζωοδότην Χριστόν.

Ἐν Νικοπόλει τὸ σκεῦος τῆς ἐκλογῆς τοῦ Χριστοῦ. παραχειμᾶσαι θέλων, τοῖς πιστοῖς ἀνεβόα, δεῦτε τοῦ Κυρίου τὰς ἐντολάς, μεμαθηκότες ἡμέτεροι, καρποφοροῦντες τῇ πίστει τῇ ἐν Χριστῷ, καλῶν ἔργων προϊστάμενοι.

Τοῦ Ἀποστόλου τὴν μνήμην δεῦτε συνδράμωμεν, ἐν Νικοπόλει πᾶσαι τῶν πιστῶν αἱ χορεῖαι, αὐτὸ συνεκβοῶντες χαρμονικῶς, μὴ διαλίπεις Ἀπόστολε, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, τῶν τελούντων σου τὴν μνήμην πιστῶς.

**Δόξα. Ἦχος α΄.** ΙΩ ΑΛΕΞΑΚΗ.

Δεῦτε πιστοὶ εὐφρανθῶμεν ἐνθέως, καὶ πανηγυρίσωμεν καὶ δῶμεν δόξαν Χριστῷ τῷ Θεῷ, τῷ ἀποστείλαντι ἡμῖν πρέσβυν Ἀπόστολον, Παῦλον τὸν ἀΐδημον, ἀνακηρῦξαι ἡμῖν ἀθανασίας τὰ ῥήματα. Σήμερον ἐν Νικοπόλει παραγενόμενος, παραχειμᾶσαι δὲ θέλων, ἐν μέσῳ Χριστονύμου λαοῦ. Διὸ καὶ ἡμεῖς οἱ δι' αὐτοῦ φωτισθέντες ἀγαλλόμενοι βοῶμεν. Μνημόνευε καὶ ἡμῶν ὡς ἔχων παρῃσίαν πρὸς Χριστὸν τὸν Θεόν, Οὐρανόκλητε Παῦλε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Ἦχος α΄.**

Τὴν παγκόσμιον δόξαν τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον τῶν ἀσωμάτων τὸ ᾆσμα καὶ τῶν πιστῶν τὸ ἐγκαλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς θεότητος. Αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσαι, εἰρήνην ἀντισῆξε καὶ τὸ Βασίλειον ἠνέωξε. Ταύτην οὖν κατέχοντες τῆς Πίστεως τὴν ἄγκυραν,





ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν· θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσῃ τοὺς ἐχθροὺς ὡς παντοδύναμος.

***Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον καὶ τὰ ἀναγνώσματα.***

***Πρὸς Τίτον ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.***

Τέκνον Τίτε, πιστὸς ὁ λόγος καὶ περὶ τούτων βούλομαί σε διαβαιβεοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. Μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστασο, εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι, Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπτε ὁ τοιοῦτος καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σέ, ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς **Νικόπολιν**· ἐκεῖ γὰρ κέκρικα παραχειμᾶσαι. Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

ΕΥΑΓΓΕΛΙΟΝ.—**Ἐκ τοῦ κατὰ Ἰωάννην.**

(ιβ΄. 17—50).

Τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρει ὁ ὄχλος, ὁ ὢν μετὰ τοῦ Ἰησοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

**Ἦσαν δέ τινες Ἕλληνες** ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βησθαϊδᾶ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτόν, λέγοντες· Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ· καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων· Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.

ΑΠΟΣΤΙΧΑ. **Ἦχος α'.** ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Τὰ κατὰ πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τίς διηγήσεται ἔνδοξε Ἀπόστολε Παῦλε; ἢ τίς παραστήσῃ τοὺς ἀγῶνας, καὶ τοὺς κόπους σου, οὓς ἐκοπίασας ἐν τῷ Εὐαγγελίῳ τοῦ ΧΡΙΣΤΟΥ ἵνα κόσμῳ κερδίσῃς καὶ ΧΡΙΣΤΩ προσαγάγῃς τὴν ΕΚΚΛΗΣΙΑΝ ἀλλὰ ταύτην αἴτησαι φυλάττειν τὴν καλήν σου ὁμολογίαν μέχρι τελευταίας ἀναπνοῆς, ΠΑΥΛΕ ΑΠΟΣΤΟΛΕ καὶ διδάσκαλε τῶν ΕΚΚΛΗΣΙΩΝ.

**Στιχ. Εἰς πᾶσαν τὴν γῆν.**

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου τίς διηγήσεται ἔνδοξε ΑΠΟΣΤΟΛΕ ΠΑΥΛΕ; τοὺς κόπους, τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ γυμνότητι, τὴν σαργάνην, τοὺς ῥαβδισμούς, τοὺς λιθασμούς, τὴν περίοδον, τὸν βυθόν, τὰ ναυάγια. Θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Πάντα οὖν ὑπέμεινας ἐν τῷ ἐνδυναμοῦντι σὲ ΧΡΙΣΤΩ ἵνα κόσμον κερδίσῃς, ἐν ΧΡΙΣΤΩ ΙΗΣΟΥ τῷ Κυρίῳ σου. Δι' ὃ δυσωποῦμέν σέ, οἱ τελοῦντες τὴν μνήμην σου, πιστῶς, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. α'.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

Δεῦτε ὀρθοδόξων τὰ πλήθη, δεῦτε φιλαποστόλων ὁμήγυρις, δεῦτε καταστέψωμεν ᾄσμασιν τὸν θεηγόρον, καὶ ὑπηρέτην τοῦ Λόγου, Παῦλον τὸν ἀΐδοιμον. Σήμερον εὐφραίνονται πόλεις τῆς Ἑλλάδος, αἱ δεξάμεναι αὐτόν καὶ φωτισθεῖσαι, ταῖς θείαις ὑφηγορίαις. Ἀγάλλονται Φίλιπποι Θεσσαλονίκη, Βέρροια καὶ Ἀθῆναι αἱ περίλαμπροι, Κρήτη καὶ Νικόπολις καὶ Ἀχαΐα, καὶ ἡ ἔνδοξος Κόρινθος, καὶ πᾶσα ἡ οἰκουμένη. Διὸ καὶ ἡμεῖς οἱ δι' αὐτοῦ φωτισθέντες πρὸς τὸν Σωτῆρα βοῶμεν. Κύριε πρεσβείαις τοῦ Ἀποστόλου, τὸν κόσμον εἰρήνευσον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ

ΔΑΠΑΝΑΙΣ: ΔΗΜ. ΓΙΑΝΝΑΚΟΠΟΛΟΥ



κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

***Νῦν Ἀπολύεις.—Τρισάγιον***

ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος δ'.**

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΑΠΟΛΥΤΙΚΙΟΝ ΤΟΥ ΠΑΥΛΟΥ

**Ἦχος γ'. Θείας πίστεως.**

Θείας χάριτος πεφωτισμένος, τὴν Οὐράνιον διδασκαλίαν, διαδραμὼν τὴν Ἑλλάδα ἐκήρυττες, ἐν Νικοπόλει σεπτὸς παραγέγονας, παραχειμᾶσαι προκρίνας θεσπέσιε. Παῦλε ἔνδοξε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Δόξα.** ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος γ'.**

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ'.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

ΚΑΙ ΑΠΟΛΥΣΙΣ

ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

# ΥΜΝΟΛΟΓΙΑ
# ΤΩΝ ΕΝΔΟΞΩΝ ΑΠΟΣΤΟΛΩΝ ΠΑΥΛΟΥ ΚΑΙ ΤΙΤΟΥ
## ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ ΕΝ ΚΡΗΤΗ

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

***Εἰς τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν τὰ παρόντα τρία.***

**Τῶν Ἀποστόλων. Τὰ Ποίοις εὐφημιῶν. Ἦχος β΄.** ΑΝΔΡΕΟΥ ΠΥΡΟΥ

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν Πέτρον καὶ Παῦλον; τοὺς διῃρημένους τοῖς σώμασι, καὶ ἡνωμένους τῷ Πνεύματι, τοὺς θεοκηρύκων πρωτοστάτας· τὸν μὲν, ὡς τῶν Ἀποστόλων προεξάρχοντα, τὸν δὲ, ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα· τούτους γὰρ ὄντως ἀξίως ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν Πέτρον καὶ Παῦλον; τῆς Θεογνωσίας τὰς πτέρυγας, τὰς διαπτάσας τὰ πέρατα, καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας, τὰς χεῖρας, Εὐαγγελίου τοῦ τῆς χάριτος, τοὺς πόδας, τῆς ἀληθείας τοῦ κηρύγματος, τοὺς ποταμοὺς τῆς σοφίας, τοῦ Σταυροῦ τὰ κέρατα· δι' ὧν δαιμόνων ὀφρὺν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον; τὰ τὴν ἀθεότητα σφάττοντα, καὶ μὴ ἀμβλυνόμενα στόματα, τῆς φρικτῆς τοῦ Πνεύματος μαχαίρας, τὰ Ῥώμης, περιφανῆ ἐγκαλλωπίσματα· τὰ πάσης τῆς οἰκουμένης ἐντρυφήματα· τὰ τῆς Καινῆς Διαθήκης, θεογράφους πλάκας, νοουμένας ἃς ἐν Σιών, Χριστὸς ἐξεφώνησεν, ὁ ἔχων τὸ μέγα ἔλεος.





## ΚΑΙ ΕΤΕΡΑ ΤΩΝ ΠΑΥΛΟΥ ΚΑΙ ΤΙΤΟΥ.—ΥΠΟ ΙΩΑΝ. ΑΛΕΞΑΚΗ

**Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων**

Τὴν παναρμόνιον λύραν τοῦ θείου Πνεύματος, καὶ ὑπηρέτην τοῦ λόγου τὸν ἀοίδιμον Παῦλον, ἐν ὕμνοις εὐφημοῦντες ᾀσματικοῖς τῶν ἐθνῶν τὸν Ἀπόστολον, σὺν Θεοφόρῳ τῷ Τίτῳ χαρμονικῶς, πάντες Κρῆτες εὐφημήσωμεν.

Ἡ μεγαλόνησος Κρήτη σήμερον τέρπεται, ἐν τῇ πανσέπτῳ μνήμῃ, τῶν σοφῶν Ἀποστόλων, αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ Σωτήρ, τοὺς οἰκτηρμούς σου κατάπεμψον, ἐπὶ τῇ νήσῳ σου ταύτῃ περιχαρῶς, Σοῦ τὸ κράτος μεγαλύνουσα.

Συνηθροισμένων ἐν δόξῃ τῶν Ἀποστόλων Χριστοῦ· Ἐν τῇ Σιὼν κατῆλθε, τὸ Πανάγιον Πνεῦμα, ἐν τούτοις ἐνδημῆσαν, εἴδει πυρός, πυριπνόους ἀνέδειξεν, ταῖς ξέναις γλώσσαις λαλούντων τῶν μαθητῶν, Κρῆτες ἔνδοξοι παρίσταντο.

### Δόξα. Ἦχος α΄.

Σήμερον ἡ μεγαλόνησος Κρήτη εὐφραίνεται, καὶ μυστικῶς πανηγυρίζει, τὴν μνήμην ἐπιτελοῦσα τοῦ πανευφήμου Ἀποστόλου Τίτου τοῦ Θεοφόρου. Οὗτος γάρ, ἠξιώθη φωνῆς Οὐρανίας ἄνωθεν ἐνεχθείσης αὐτῷ. Τίτε λεγούσης, δεῖσε ἐντεῦθεν ἐκδημῆσαι, καὶ τὴν ψυχήν σου σῶσαι. Ὅθεν ἐν Ἱερουσαλὴμ παραγενόμενος, ἤκουσας τὸν Σωτῆρα Χριστόν, διδάσκοντα, καὶ θαυματουργοῦντα, ὃν διὰ Φιλίππου καὶ Ἀνδρέου, ζητήσας εἶδες. Εἶδες καὶ τὸ σωτήριον πάθος, καὶ τὴν ἔνδοξον Ἀνάστασιν, καὶ Θείαν Ἀνάληψιν. Τὴν κάθοδον καὶ παρουσίαν τοῦ Ἁγίου Πνεύματος, οὗ ἐφωτίσθης Μακάριε. Διὸ μνημόνευε καὶ ἡμῶν, ἔνδοξε Ἀπόστολε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Καὶ νῦν. Ἦχος α΄.

Τὴν παγκόσμιον δόξαν τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον τῶν ἀσωμάτων τὸ ᾆσμα καὶ τῶν πιστῶν τὸ ἐγκαλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς Θεότητος. Αὕτη τὸ μεσό-

τειχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντισῆξε καὶ τὸ Βασίλειον ἠνέωξε. Ταύτην οὖν κατέχοντες τῆς Πίστεως τὰν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον· Θαρσείτω τοίνυν· θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσῃ τοὺς ἐχθροὺς ὡς παντοδύναμος.

*Εἴσοδος.—Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας.*

ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ. *Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.*

Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν πάντες οἱ Ἀπόστολοι ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτῷ. Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον, οὗ ἦσαν καθήμενοι. Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν· καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. Ἦσαν δὲ ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς, ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. Γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη· ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους. Οὐκ ἰδοὺ πάντες οὗτοι εἰσὶν οἱ λαλοῦντες Γαλιλαῖοι; Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν, ἐν ᾗ ἐγεννήθημεν; Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καπαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον, καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ρωμαῖοι, Ἰουδαῖοι τε καὶ προσήλυτοι, **Κρῆτες** καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ.

*Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.*

Ἐν ταῖς ἡμέραις, ἐκείναις ὡς ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας, ἑκατοντάρχῃ ὀνόματι Ἰουλίῳ, σπείρας Σεβαστῆς. Ἐπιβάντες δὲ πλοίῳ Ἀ-





δραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως. Τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα· φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα, ἐπιμελείας τυχεῖν. Κακεῖθεν ἀναχθέντες, ὑπεπλεύσαμεν τὴν Κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. Τό τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς Μύρα τῆς Λυκίας. Κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλεξανδρινόν, πλέον εἰς Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. Ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν **Κρήτην κατὰ Σαλμώνην· μόλις τε παραλεγόμενοι αὐτήν, ἤλθομεν εἰς τόπον τινὰ καλούμενον Καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασαία.**

*Πρὸς Τίτον Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα*

Παῦλος, δοῦλος Θεοῦ, Ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ, καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ' εὐσέβειαν ἐπ' ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἀπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων, ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι, ὃ ἐπιστεύθην ἐγὼ κατ' ἐπιταγὴν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ. Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν, χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν. Τούτου χάριν κατέλιπόν σε **ἐν Κρήτῃ**, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃς καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην. Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς· μηδείς σου περιφρονείτω. Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικῆς, πᾶσαν ἐνδεικνυμένους πραότητα πρὸς πάντας ἀνθρώπους. Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σε ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν. Ἐκεῖ γὰρ ἔκρινα παραχειμάσαι. Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλῶ σπουδαίως πρόπεμψον ἵνα μηδὲν αὐτοῖς λείπῃ. Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας

χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ᾽ ἐμοῦ πάντες. Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

ΕΥΑΓΓΕΛΙΟΝ.—**Ἐκ τοῦ κατὰ Ἰωάννην.**

(ιβ΄. 17—50).

Τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρει ὁ ὄχλος, ὁ ὢν μετὰ τοῦ Ἰησοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος. ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

**Ἦσαν δὲ τινὲς Ἕλληνες** ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτόν, λέγοντες. Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ· καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων· Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.

ΑΠΟΣΤΙΧΑ. **Ἦχος α΄.** ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τὶς διηγήσεται ἔνδοξε Ἀπόστολε Παῦλε; ἢ τὶς παραστήσῃ τοὺς ἀγῶνας, καὶ τοὺς κόπους σου, οὓς ἐκοπίασας ἐν τῷ Εὐαγγελίῳ τοῦ ΧΡΙΣΤΟΥ, ἵνα κόσμῳ κερδίσῃς καὶ ΧΡΙΣΤΩ προσαγάγῃς τὴν ΕΚΚΛΗΣΙΑΝ ἀλλὰ ταύτην αἴτησαι, φυλάττειν τὴν καλήν σου ὁμολογίαν, μέχρι, τελευταίας ἀναπνοῆς, ΠΑΥΛΕ ΑΠΟΣΤΟΛΕ, καὶ διδάσκαλε τῶν ΕΚΚΛΗΣΙΩΝ.

**Στιχ. Εἰς πᾶσαν τὴν γῆν.**

Τὰ κατὰ πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τὶς διηγήσεται ἔνδοξε ΑΠΟΣΤΟΛΕ ΠΑΥΛΕ; τοὺς κόπους, τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ γυμνότητι, τὴν σαργάνην, τοὺς ῥαβδισμούς, τοὺς λιθασμούς, τὴν περίοδον,





τὸν βυθόν, τὰ ναυάγια, θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Πάντα οὖν ὑπέμεινας, ἐν τῷ ἐνδυναμοῦντι σε ΧΡΙΣΤΩ, ἵνα κόσμον κερδίσῃς, ἐν ΧΡΙΣΤΩ ΙΗΣΟΥ τῷ Κυρίῳ σου. Δι᾽ ὃ δυσωποῦμεν σέ, οἱ τελοῦντες τὴν μνήμην σου, πιστῶς, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΔΟΞΑ. **Ἦχος πλ. α΄.** ΥΠΟ ΙΩΑΝ. ΑΛΕΞΑΚΗ

Δεῦτε ὀρθοδόξων Κρητῶν τὰ πλήθη, δεῦτε φιλαποστόλων ὁμήγυρις, δεῦτε καταστέψωμεν ᾄσμασιν τὸν θεηγόρον, καὶ ὑπηρέτην τοῦ λόγου Παῦλον τὸν ἀΐδοιμον. Σήμερον εὐφραίνονται πόλεις τῆς Ἑλλάδος αἱ δεξάμεναι αὐτόν, καὶ φωτισθεῖσαι ταῖς θείαις ὑφηγορίαις, ἀγάλλονται Φίλιπποι, Θεσσαλονίκη, Βέρροια καὶ Ἀθῆναι αἱ περίλαμπροι, Κρήτη καὶ Νικόπολις καὶ Ἀχαΐα, καὶ ἡ ἔνδοξος Κόρινθος, καὶ πᾶσα ἡ οἰκουμένη. Δι᾽ ὃ καὶ ἡμεῖς οἱ δι᾽ αὐτοῦ φωτισθέντες, πρὸς τὸν Σωτῆρα βοῶμεν. Κύριε πρεσβείαις τοῦ Ἀποστόλου, τὸν κόσμον εἰρήνευσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

***Νῦν ἀπολύεις.—Τρισάγιον.***

ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος δ΄.**

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΤΑ ΑΠΟΛΥΤΙΚΙΑ. **Ἦχος γ΄. Τὴν ὡραιότητα τῆς Παρθενίας σου.**

Ἡ μεγαλόνησος Κρήτη ἀγάλλεται, ἐπὶ τῇ μνήμῃ σου, Παῦλε Ἀπόστολε, σὲ μεγαλύνει θαυμαστῶς, τὴν δόξαν τῶν Ἀποστόλων. Ὅθεν τὸ μνημόσυνον, ἑορτάζουσα σήμερον, ὕμνον ἐναρμόνιον, σοὶ



ΒΙΒΛΙΟΘΗΚΗ ... ΠΑΠΑ...

προσφέρει Ἀπόστολε. Διὸ καὶ εὐχαρίστως κραυγάζειν σοι, χαῖρε κρυπὶς τῶν Ἀποστόλων.

ΑΠΟΛΥΤΙΚΙΟΝ ΤΟΥ ΤΙΤΟΥ, ΟΜΟΙΟΝ

Ἡ μεγαλόνησος Κρήτη ἀγάλλεται, ἐπὶ τῇ μνήμῃ σου Τίτε Ἀπόστολε, Σὲ μεγαλύνει θαυμαστῶς τὸ κλέος τῆς Ἐκκλησίας. Ὅθεν τὸ μνημόσυνον, ἑορτάζουσα σήμερον ὕμνον ἐναρμόνιον, σοὶ προσφέρει πανάριστε. Διὸ καὶ εὐχαρίστως κραυγάζειν σοι, χαῖρε ἡ δόξα τῶν Ἑλλήνων.

ΕΤΕΡΟΝ. **Ὁ αὐτὸς ἦχος.**

Ὁ θεσπέσιος τῶν Ἀποστόλων Φίλιππος, πρὸ τοῦ τιμίου Σου Σταυροῦ καὶ τοῦ πάθους, διακονῶν σὲ Χριστέ, προσελθὼν ἐβόα σοι. Κύριε, Ἕλληνες εἰδεῖν σε θέλουσιν, ὧδε παραμένοντα. Σὺ δὲ καρδιογνῶστα, ἐβόας τοῖς μαθηταῖς σου. Ὦ φίλοι μου πιστοί, Ἐλήλυθεν ἡ ὥρα ὅπως δοξασθῶ, καὶ δοξάσω ἀπαύστως, τοὺς εἰς ἐμὲ πιστεύοντας.

**Δόξα.** ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος γ'.**

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ'.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, ὁ Υἱός σου, καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

ΚΑΙ ΑΠΟΛΥΣΙΣ

ΔΑΠΑΝΑΙΣ: ΔΗΜ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ

# ΥΜΝΟΛΟΓΙΑ ΤΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

## ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

***Εἰς τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχους ϛ'. καὶ ψάλλομεν τὰ παρόντα τρία. Ἦχος β'.***

**Ποίοις εὐφημιῶν.** ΑΝΔΡΕΟΥ ΠΥΡΟΥ

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν Πέτρον καὶ Παῦλον; τοὺς διῃρημένους τοῖς σώμασι, καὶ ἡνωμένους τῷ Πνεύματι, τοὺς θεοκηρύκων πρωτοστάτας· τὸν μέν, ὡς τῶν Ἀποστόλων προεξάρχοντα τὸν δέ, ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα· τούτους γὰρ ὄντως ἀξίως ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν Πέτρον καὶ Παῦλον; τῆς Θεογνωσίας τὰς πτέρυγας, τὰς διαπτάσας τὰ πέρατα, καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας, τὰς χεῖρας, Εὐαγγελίου τοῦ τῆς χάριτος, τοὺς πόδας τῆς ἀληθείας τοῦ κηρύγματος, τοὺς ποταμοὺς τῆς σοφίας, τοῦ Σταυροῦ τὰ κέρατα· δι' ὧν δαιμόνων ὀφρύν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον; τὰ τὴν ἀθεότητα σφάττοντα. καὶ μὴ ἀμβλυνόμενα στόματα, τῆς φρικτῆς τοῦ Πνεύματος μαχαίρας, τὰ Ῥώμης, περιφανῆ ἐγκαλωπίσματα· τὰ πάσης τῆς οἰκουμένης ἐντρυφήματα· τὰς τῆς Καινῆς Διαθήκης θεογράφους πλάκας νοουμένας ἃς ἐν Σιών, Χριστὸς ἐξεφώνησεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

**Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.**

ΥΠΟ ΙΩΑΝ. ΑΛΕΞΑΚΗ

Δεῦρο Μακεδονίας πληθύς, Θεσσαλονίκης τὸ φιλόχριστον σύστημα, καὶ πᾶσαι πιστῶν χορεῖαι, τὸν ὑπηρέτην Χριστοῦ, θεῖον Παῦλον ὕμνοις εὐφημίσωμεν. Τὸ στόμα τῆς χάριτος τὸ τοῦ πνεύματος ὄργανον, τὸν ἕως τρίτου οὐρανοῦ ἀνερχόμενον, εἰς Παράδεισον ἁρπαγέντα τῇ χάριτι. Ὅθεν ἀναφθεγγόμενος, τὰ ἄρρητα ῥήματα, σὺν τοῖς Ἀγγέλοις ἐν δόξῃ τῇ Τρισηλίῳ Θεότητι, ἡμῖν δὲ δωρῆται σωτηρίαν καὶ εἰρήνην, καὶ μέγα ἔλεος.

Ὕμνοις ἐν ἐξαισίοις πιστοί, τὸν Οὐρανόκλητον Ἀπόστολον σήμερον, τὸν πρῶτον ἐν Ἀποστόλοις, καὶ ὑπηρέτην Χριστοῦ καὶ τῆς Οἰκουμένης τὸν διδάσκαλον. Τὸν Παῦλον τὸν ἔνθεον, Ἀποστόλων τὸ καύχημα, καὶ τῶν Πατέρων καὶ μαρτύρων Ἀγλάϊσμα, καὶ τῆς πίστεως, τὸ ἀσάλευτον στήριγμα. Ἄνθρωπον ἐπουράνιον, ἐπίγειον Ἄγγελον, καὶ τῶν Ἁγίων ἁπάντων, καὶ τῶν Ἀγγέλων ὑπέρτερον, αὐτοῦ ταῖς πρεσβείαις, αἰτησώμεθα εἰρήνην καὶ μέγα ἔλεος.

Τέκνα ἡ θρεψαμένη σεπτά, καὶ ἀναδείξασα Ὁσίους τε μάρτυρας, Ποιμένας καὶ διδασκάλους, τῆς Ἐκκλησίας Χριστοῦ, σὺ Θεσσαλονίκη παραδέδωκας. Ἰάσωνα ἄριστον, καὶ ἐν σοὶ πρωτεπίσκοπον, σὺν Ἀριστάρχῳ, καὶ Σεκοῦνδόν τε Γάϊον, καὶ τὸν ἔνθεον, Ἱεράρχην Γρηγόριον. Νέστωρα τὸν πολύαθλον, καὶ ἔνδοξον μάρτυρα, καὶ στεφανίτην μαρτύρων, τὸν μυροβλήτην Δημήτριον, αὐτῶν ἱκεσίας, τῷ λαῷ σου τὴν εἰρήνην Χριστὲ κατάπεμψον.

**Δόξα. Ἦχος πλ. δ΄.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

Χαῖρε καὶ εὐφραίνου Μακεδονία, τέρπου καὶ ἀγάλλου πόλις Θεσσαλονίκη. Σήμερον ἐν Οὐρανοῖς τὰ θεῖα τέκνα σου, σὺν τῷ θείῳ Παύλῳ χορεύουσιν. Ἔχεις μὲν ἐν Ἀποστόλοις Ἀρίσταρχον Σεκοῦνδον, ἐν Ἱεράρχαις Ἰάσωνα Γρηγόριον, καὶ ἐν μάρτυσι Νέστορα τὸν πολύαθλον, καὶ Δημήτριον τὸν μέγιστον ἀντιλήπτορα, αὐτῶν ταῖς ἱκεσίαις Χριστέ, ἐλέησον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.





**Καὶ νῦν. Θεοτοκίον.**

Ὁ Βασιλεὺς τῶν οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ Ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως· εἷς ἐστὶν Υἱὸς διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. Διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

***Εἴσοδος.—Τὸ φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας.***

ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ.—***Τρεῖς Ἀπόστολοι. Τὸ Ἱερὸν Εὐαγγέλιον.***

***Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.***

Ἐν ταῖς ἡμέραις ἐκείναις, διοδεύσαντες οἱ Ἀπόστολοι τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον **εἰς Θεσσαλονίκην** ὅπου ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων. Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ Σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς ὃν ἐγὼ καταγγέλλω ὑμῖν. **Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι,** Ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηροὺς καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον. Μὴ εὑρόντες δὲ αὐτούς, ἔσυρον τὸν Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας, βοῶντες. Ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν, οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράττουσι, βασιλέα, λέγοντες ἕτερον εἶναι, Ἰησοῦν. Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς.

***Πρὸς Θεσσαλονικεῖς Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.***

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος **τῇ Ἐκκλησίᾳ Θεσσαλονικέων,** ἐν Θεῷ Πατρί, καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ. Χάρις ὑμῖν καὶ



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΟΡΗΣ ΠΑΠΑ...

εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν· ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως, καὶ τοῦ κόπου τῆς ἀγάπης, καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν, εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Θεοῦ, τὴν ἐκλογὴν ὑμῶν· ὅτι τὸ Εὐαγγέλιον ὑμῶν, οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν Πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ· καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι' ὑμᾶς.

***Πρὸς Θεσσαλονικεῖς Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.***

Ἀδελφοί, ἡμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου· **ὥστε γενέσθαι ὑμᾶς τύπος πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ τῇ Ἀχαΐᾳ·** ἀφ' ἡμῶν γὰρ ἐξήχηται ὁ **λόγος τοῦ Κυρίου οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ,** ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. Αὐτοὶ γὰρ περὶ ὑμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔχομεν πρὸς ὑμᾶς καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ἀναμένειν τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς ἐρχομένης.

ΕΥΑΓΓΕΛΙΟΝ.—**Ἐκ τοῦ κατὰ Ἰωάννην.**

(ιβ'. 17—50).

Τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρει ὁ ὄχλος, ὁ ὢν μετὰ τοῦ Ἰησοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

**Ἦσαν δέ τινες Ἕλληνες** ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ





Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτόν, λέγοντες· Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ· καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων· Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.

ΑΠΟΣΤΙΧΑ. **Ἦχος α'.** ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Τὰ κατὰ πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τὶς διηγήσεται ἔνδοξε Ἀπόστολε Παῦλε; ἢ τὶς παραστήσῃ τοὺς ἀγῶνας, καὶ τοὺς κόπους σου, οὓς ἐκοπίασας ἐν τῷ Εὐαγγελίῳ τοῦ ΧΡΙΣΤΟΥ, ἵνα κόσμῳ κερδίσῃς καὶ ΧΡΙΣΤΩ προσαγάγῃς τὴν ΕΚΚΛΗΣΙΑΝ, ἀλλὰ ταύτην αἴτησαι φυλάττειν τὴν καλήν σου ὁμολογίαν, μέχρι τελευταίας ἀναπνοῆς, ΠΑΥΛΕ ΑΠΟΣΤΟΛΕ καὶ διδάσκαλε τῶν ΕΚΚΛΗΣΙΩΝ.

**Στιχ. Εἰς πᾶσαν τὴν γῆν.**

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου τὶς διηγήσεται ἔνδοξε ΑΠΟΣΤΟΛΕ ΠΑΥΛΕ; τοὺς κόπους, τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ γυμνότητι, τὴν σαργάνην, τοὺς ῥαβδισμούς, τοὺς λιθασμούς, τὴν περίοδον, τὸν βυθόν, τὰ ναυάγια. Θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Πάντα οὖν ὑπέμεινας ἐν τῷ ἐνδυναμοῦντι σὲ ΧΡΙΣΤΩ, ἵνα κόσμον κερδίσῃς, ἐν ΧΡΙΣΤΩ ΙΗΣΟΥ τῷ Κυρίῳ σου. Δι' ὃ δυσωποῦμεν σέ, οἱ τελοῦντες τὴν μνήμην σου, πιστῶς, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. α'.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

Δεῦτε Θεσσαλονικαίων τὰ πλήθη, δεῦτε φιλαποστόλων ὁμήγυρις, δεῦτε καταστέψωμεν ᾄσμασιν τὸν θεηγόρον, καὶ ὑπηρέτην τοῦ Λόγου, Παῦλον τὸν ἀΐδοιμον. Σήμερον εὐφραίνονται πόλεις τῆς Ἑλλάδος, αἱ δεξάμεναι αὐτὸν καὶ φωτισθεῖσαι, ταῖς θείαις ὑφηγορίαις. Ἀγάλλονται Φίλιπποι Θεσσαλονίκη, Βέρροια καὶ Ἀθῆναι αἱ περίλαμπροι, Κρήτη καὶ Νικόπολις καὶ Ἀχαΐα, καὶ ἡ ἔνδοξος Κόρινθος, καὶ πᾶσα ἡ οἰκουμένη. Διὸ καὶ ἡμεῖς οἱ δι' αὐτοῦ φωτισθέντες πρὸς τὸν Σωτῆρα



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

βοῶμεν. Κύριε πρεσβείαις τοῦ Ἀποστόλου, τὸν κόσμον εἰρήνευσον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

***Νῦν Ἀπολύεις.—Τρισάγιον***

ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος δ'.**

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΤΟ ΑΠΟΛΥΤΙΚΙΟΝ

**Ἦχος πλ. δ.' Τὸ προσταχθὲν μυστικῶς.**

Θεσσαλονίκη ἡ λαμπρὰ καὶ θεία πόλις, ἡ δεξαμένη σε πιστῶς Παῦλε Ἀπόστολε, γηθομένη ψάλλουσα, ᾄσμασιν ἐνθέοις. Τὴν μνήμην ἐπιτελοῦσα σου τὴν λαμπράν, καὶ χαίρει ἀγαλλομένη, περιφανῶς. Δεῦρο λέγουσα σήμερον. Μακεδονίας ἡ πληθύς, φαιδρῶς πανηγυρίσωμεν, τοῦ Χριστοῦ τὸν Ἀπόστολον.

**Δόξα.** ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος γ'.**

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ'.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ ὁ Υἱός σου, καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

ΚΑΙ ΑΠΟΛΥΣΙΣ

ΔΑΠΑΝΑΙΣ: ΔΗΜ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ

# ΥΜΝΟΛΟΓΙΑ ΤΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

## ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ ΕΝ ΦΙΛΙΠΠΟΙΣ (ΜΑΚΕΔΟΝΙΑΣ)

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

***Εἰς τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχους Γ'. καὶ ψάλλομεν τὰ παρόντα τρία, δευτεροῦντες τὸ πρῶτον.***

**Ποίοις εὐφημιῶν. Ἦχος β'.** ΑΝΔΡΕΟΥ ΠΥΡΟΥ

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν Πέτρον καὶ Παῦλον; τοὺς διηρημένους τοῖς σώμασι, καὶ ἡνωμένους τῷ Πνεύματι, τοὺς θεοκηρύκων πρωτοστάτας· τὸν μέν, ὡς τῶν Ἀποστόλων προεξάρχοντα, τὸν δέ, ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα· τούτους γὰρ ὄντως ἀξίως ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν Πέτρον καὶ Παῦλον; τῆς Θεογνωσίας τὰς πτέρυγας, τὰς διαπτάσας τὰ πέρατα, καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας, τὰς χεῖρας, Εὐαγγελίου τοῦ τῆς χάριτος, τοὺς πόδας, τῆς ἀληθείας τοῦ κηρύγματος, τοὺς ποταμοὺς τῆς σοφίας, τοῦ Σταυροῦ τὰ κέρατα· δι' ὧν δαιμόνων ὀφρύν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον; τὰ τὴν ἀθεότητα σφάττοντα, καὶ μὴ ἀμβλυνόμενα στόματα, τῆς φρικτῆς τοῦ Πνεύματος μαχαίρας, τὰ Ρώμης, περιφανῆ ἐγκαλλωπίσματα· τὰ πάσης τῆς οἰκουμένης ἐντρυφήματα· τὰ τῆς Καινῆς Διαθήκης, θεογράφους πλάκας, νοουμένας ἃς ἐν Σιών, Χριστὸς ἐξεφώνησεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΚΑΙ ΤΟΥ ΠΑΥΛΟΥ ΕΞ ΤΑ ΕΠΟΜΕΝΑ. ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

**Ἦχος α΄. Τῶν Οὐρανίων Ταγμάτων.**

Μακεδονία εὐφραίνου, σκίρτα καὶ χόρευε, σὺ γὰρ ἐδέξω πρώτη, τὸν φωστῆρα τοῦ κόσμου. Ἐλθὼν ἐκ τῆς Ἀσίας, καὶ πρὸς ἡμᾶς, διὰ Θείου Ὁράματος. Τοῦ ἐπιστρέψαι ἐκ πλάνης τοῦ πονηροῦ, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Φίλιπποι Θράκη Εὐρώπη, πανηγυρίσατε, ἐν τῇ σεπτῇ ἐλεύσει, τοῦ σοφοῦ Ἀποστόλου, καὶ θείου διδασκάλου, οὗ ταῖς εὐχαῖς, οἱ ἐξ Ἐθνῶν ἐφωτίσθημεν. Δοξολογοῦντες τὸν Κύριον Ἰησοῦν, τὸν ἡμᾶς ἐλευθερώσαντα.

Τοῦ Ἀποστόλου τὴν μνήμην, δεῦτε συνδράμετε, σήμερον ἐν Φιλίπποις, εὐσεβούντων τὰ πλήθη. Αὐτῷ συνεκβοῶντες, χαρμονικῶς, μὴ διαλείπεις Ἀπόστολε, τοῦ λυτρωθῆναι κινδύνων καὶ πειρασμῶν, τῶν τελούντων σου τὴν μνήμην πιστῶς.

ΕΤΕΡΑ ΤΡΙΑ. **Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ. Τοῦ αὐτοῦ.**

Δεῦρο πᾶσα πληθύς, Θρακῶν καὶ Μακεδόνων, φαιδρῶς ἐπιτελοῦντες. Τὴν μνήμην τοῦ ἐνδόξου, Παύλου τοῦ Θεορρήμονος.

Ὅσα ἐστὶ σεμνὰ δίκαια προσφιλῆ τε, καὶ ἀρετῶν ἐπαίνους, ἔλεγε τοῖς ἁγίοις, ὁ τῶν Ἐθνῶν Ἀπόστολος.

Χαίρετε ἐν Χριστῷ Συντύχη Εὐωδία, σὺν τῇ σεπτῇ Λυδίᾳ, καὶ Κλήμης Ὀλιμπᾶς τε, καὶ Θεῖος Ἐπαφρόδιτος.

**Δόξα. Ἦχος πλ. β΄.**

Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν, καὶ τὸν Ἀπόστολον Κυρίου, ἐν Φιλίπποις παραγενόμενον, εὐφημήσωμεν λέγοντες. Χαῖρε Παῦλε παμφίλτατε, καὶ κῆρυξ τῆς πίστεως, καὶ διδάσκαλε τῆς Οἰκουμένης. Χαίρετε μαθηταὶ καὶ μιμηταὶ τοῦ Ἀποστόλου, Τιμόθεε καὶ Σύλλα, Κλήμη καὶ Ἐπαφρόδιτε, καὶ Ὀλιμπᾶ πρῶτε ἱεράρχα Φιλιππησίων, Χαίρετε τίμιαι γυναῖκες Εὐωδία Συντύχη, καὶ Λυδία μεγαλώνυμε, χαίροις ἡ σεπτὴ χορεία τοῦ δεσμοφύλακος, καὶ πάντων Φιλιππησίων ὁ σύλλογος. Ὡς ἔχοντες παρρησίαν πρὸς Χριστὸν τὸν Θεόν, Πανάγιοι Ἀπόστολοι πρεσβεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν





**Καὶ νῦν. Θεοτοκίον.**

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς, φύσει θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς. Οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε. Σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

***Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον.***

ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ —*Ἤτοι: Δύο Ἀπόστολοι. Τὸ Ἱερὸν Εὐαγγέλιον.*

***Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα***

Παῦλος καὶ Τιμόθεος, δοῦλοι Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ, τοῖς οὖσιν ἐν **Φιλίπποις**, σὺν ἐπισκόποις καὶ διακόνοις· Χάρις ἡμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν (πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος), ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ Εὐαγγέλιον, ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν· πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθόν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ. Καθὼς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ἡμῶν διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ, καὶ βεβαιώσει τοῦ Εὐαγγελίου, συγκοινωνοὺς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας.

***Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα***

Ἀδελφοί, ἐχάρην ἐν Κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλετε

τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ. Οὐχ' ὅτι καθ' ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμι, αὐτάρκης εἶναι. Οἶδα δὲ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι· πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. Πλὴν καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μου τῇ θλίψει. Οἴδατε δὲ καὶ ὑμεῖς, **Φιλιππήσιοι,** ὅτι ἐν ἀρχῇ τοῦ Εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ **Μακεδονίας,** οὐδεμία μοι Ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως εἰμὴ ὑμεῖς μόνοι· ὅτι καὶ ἐν **Θεσσαλονίκῃ** καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. Ἀπέχω δὲ πάντα καὶ περισσεύω· πεπλήρωμαι δεξάμενος παρὰ Ἐπαφροδίτου, τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτήν, εὐάρεστον τῷ Θεῷ. Ὁ δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ, ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ. Τῷ δὲ Θεῷ καὶ Πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησου. Ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας. Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν. Ἀμήν.

ΕΥΑΓΓΕΛΙΟΝ.—**Ἐκ τοῦ κατὰ Ἰωάννην.**
(ιβ'. 17—50).

Τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρει ὁ ὄχλος, ὁ ὢν μετὰ τοῦ Ἰησοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

**Ἦσαν δέ τινες Ἕλληνες** ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βησθαϊδᾶ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτόν, λέγοντες· Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ· καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων· Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.

ΔΑΠΑΝΑΙΣ: ΔΗΜ΄ ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ



ΑΠΟΣΤΙΧΑ. **Ἦχος α'.** ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τίς διηγήσεται ἔνδοξε Ἀπόστολε Παῦλε; ἢ τίς παραστήσῃ τοὺς ἀγῶνας, καὶ τοὺς κόπους σου, οὓς ἐκοπίασας ἐν τῷ Εὐαγγελίῳ τοῦ ΧΡΙΣΤΟΥ, ἵνα κόσμῳ κερδίσῃς, καὶ ΧΡΙΣΤΩ προσαγάγῃς τὴν ΕΚΚΛΗΣΙΑΝ, ἀλλὰ ταύτην αἴτησαι φυλάττειν τὴν καλήν σου ὁμολογίαν, μέχρι τελευταίας ἀναπνοῆς, ΠΑΥΛΕ ΑΠΟΣΤΟΛΕ, καὶ διδάσκαλε τῶν ΕΚΚΛΗΣΙΩΝ.

**Στιχ. Εἰς πᾶσαν τὴν γῆν.**

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου τίς διηγήσεται ἔνδοξε ΑΠΟΣΤΟΛΕ ΠΑΥΛΕ; τοὺς κόπους τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ γυμνότητι, τὴν σαργάνην, τοὺς ῥαβδισμούς, τοὺς λιθασμούς, τὴν περίοδον, τὸν βυθόν, τὰ ναυάγια. Θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀνθρώποις. Πάντα οὖν ὑπέμεινας ἐν τῷ ἐνδυναμοῦντι σε ΧΡΙΣΤΩ ἵνα κόσμον κερδίσῃς, ἐν ΧΡΙΣΤΩ ΙΗΣΟΥ τῷ Κυρίῳ σου. Δι' ὃ δυσωποῦμέν σε, οἱ τελοῦντες τὴν μνήμην σου, πιστῶς, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. α'.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

Δεῦτε Φιλιππησίων τὰ πλήθη, δεῦτε φιλαποστόλων ὁμήγυρις, δεῦτε καταστέψωμεν ᾄσμασιν τὸν θεηγόρον, καὶ ὑπηρέτην τοῦ λόγου Παῦλον τὸν ἀΐδιμον. Σήμερον εὐφραίνονται πόλεις τῆς Ἑλλάδος αἱ δεξάμεναι αὐτόν, καὶ φωτισθεῖσαι ταῖς θείαις ὑφηγορίαις, ἀγάλλονται Φίλιπποι, Θεσσαλονίκη, Βέρροια καὶ Ἀθῆναι αἱ περίλαμπροι. Κρήτη καὶ Νικόπολις καὶ Ἀχαΐα καὶ ἡ ἔνδοξος Κόρινθος, καὶ πᾶσα ἡ οἰκουμένη. Δι' ὃ καὶ ἡμεῖς οἱ δι' αὐτοῦ φωτισθέντες, πρὸς τὸν Σωτῆρα βοῶμεν, Κύριε πρεσβείαις τοῦ Ἀποστόλου, τὸν κόσμον εἰρήνευσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαριζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ

ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ.

κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

***Νῦν Ἀπολύεις.—Τρισάγιον.***

ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος δ'.**

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΤΟ ΑΠΟΛΥΤΙΚΙΟΝ

**Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.**

Τῶν Φιλίππων τὸ κλέος καὶ ἐθνῶν τὸν διδάσκαλον τὸν Ζηλωτὴν τοῦ Κυρίου, Θεῖον Παῦλον τιμήσωμεν, ἐλθὼν δ' ἐπεσκέψατο ἡμᾶς, κηρύττων ἐν ἡμῖν τὰ ἀληθῆ. Διὸ τὴν μνήμην αὐτοῦ ἐπιτελοῦντες, βοῶμεν τῷ θεοφόρῳ. Δόξα τῷ Σὲ δοξάσαντι, δόξα τῷ Σὲ στεφανώσαντι, δόξα τῆς ἐκλογῆς τοῦ Χριστοῦ, σκεῦος πανέντιμον

**Δόξα.** ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος γ'.**

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ'.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, ὁ Υἱὸς σου, καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

ΚΑΙ ΑΠΟΛΥΣΙΣ

ΔΑΠΑΝΑΙΣ: ΔΗΜ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ

# ΥΜΝΟΛΟΓΙΑ ΤΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

## ΚΑΙ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ ΕΝ ΒΕΡΡΟΙΑ (ΜΑΚΕΔΟΝΙΑΣ)

---

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

***Εἰς τὸ Κύριε ἐκέκραξα. Ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν τὰ παρόντα τρία. Ἦχος β'.***

**Ποίοις Εὐφημιῶν.** ΑΝΔΡΕΟΥ ΠΥΡΟΥ

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν Πέτρον καὶ Παῦλον; τοὺς διῃρημένους τοῖς σώμασι, καὶ ἡνωμένους τῷ Πνεύματι, τοὺς θεοκηρύκων πρωτοστάτας· τὸν μέν, ὡς τῶν Ἀποστόλων προεξάρχοντα τὸν δέ, ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα· τούτους γὰρ ὄντως ἀξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν Πέτρον καὶ Παῦλον; τῆς Θεογνωσίας τὰς πτέρυγας, τὰς διαπτάσας τὰ πέρατα, καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας, τὰς χεῖρας, Εὐαγγελίου τοῦ τῆς χάριτος, τοὺς πόδας, τῆς ἀληθείας τοῦ κηρύγματος, τοὺς ποταμοὺς τῆς σοφίας, τοῦ Σταυροῦ τὰ κέρατα· δι' ὧν δαιμόνων ὀφρύν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον; τὰ τὴν ἀθεότητα σφάττοντα, καὶ μὴ ἀμβλυνόμενα στόματα, τῆς φρικτῆς τοῦ Πνεύματος μαχαίρας, τὰ Ῥώμης, περιφανῆ ἐγκαλλωπίσματα· τὰ πάσης τῆς οἰκουμένης ἐντρυφήματα· τὰς τῆς Καινῆς Διαθήκης, θεογράφους πλάκας, νοουμένας ἃς ἐν Σιών, Χριστὸς ἐξεφώνησεν ὁ ἔχων τὸ μέγα ἔλεος.

ΤΟΥ ΠΑΥΛΟΥ, ΤΑ ΕΠΟΜΕΝΑ ΤΡΙΑ.—ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

**Ἦχος α'. Πανεύφημοι μάρτυρες.**

Λαμπρύνεται Βέρροια φαιδρῶς, πᾶσα ἡ τιμῶσά σε, καὶ μεγαλύνει τὴν δόξαν σου, καὶ γὰρ ἀπήλαυσε, τῶν σῶν διδαγμάτων, πλουσίως Ἀπόστολε, καὶ πάντων τῶν Ἀγγέλων συνόμιλε, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πανεύφημε Παῦλε τοῦ Χριστοῦ, μάρτυς καὶ Ἀπόστολε, σὲ ὁ Χριστὸς ἐξελέξατο, ὡς σκεῦος τίμιον, εἰς τὰ ἔθνη πέμψας, ἐπιστρέφειν ἅπαντα, ἐκ σκότους πρὸς τὸ φῶς τὸ ἀνέσπερον, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Προσέλθωμεν πίστει ἀκλινεῖ, πάντες ὦ φιλέορτοι, καὶ ἐν χαρᾷ ἐκβοήσωμεν, τῷ Παντοκράτορι, ἐν ᾠδαῖς καὶ ὕμνοις τῷ Κυρίῳ ᾄδοντες, τιμῶντες γὰρ αὐτοῦ τὸν Ἀπόστολον, Παῦλον τὸν ἔνθεον. Μακεδόνων ἡ ἀντίληψις, καὶ Βερροίας, δόξα καὶ ἀγλάϊσμα.

**Δόξα καὶ νῦν. Ὀκτάηχον**

**Ἦχος α'. Θεαρχίῳ νεύματι.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

Οὐρανίῳ νεύματι, σήμερον ὁ Θεοφόρος Ἀπόστολος, εἰς Οὐρανὸν, μεταρσίως αἰρόμενος.

**Ἦχος πλ. α'.**

Καταλαβόντες τὸν πανένδοξον, καὶ μεγαλορρήμονα Παῦλον ἐξόχως ἠσπάζοντο.

**Ἦχος β'.**

Αἱ δὲ ὑπέρτατοι τῶν Βερροιαίων τάξεις, τῷ Θεορρήμονι Παύλῳ παραγενόμεναι.

**Ἦχος πλ. β'.**

Τὸν Θεοφόρον καὶ ἀξιύμνητον Παῦλον προπέμποντες, τῷ δέει κρατούμενοι, εὐσεβοφρόνως τε γεραίροντες τὸν τοῦ Χριστοῦ ὑπηρέτην, καὶ εὐχαρίστως ἐβόων, ταῖς ἀνωτέραις χοροστασίαις, ἰδοὺ ὁ μακάριος, Παῦλος νῦν προτίθεται.





**Ἦχος γ'.**

Ἄρωμεν τοίνυν τὰς χεῖρας, καὶ τοῦτον ὑποδεξώμεθα, ὡς οὐρανόθεν ἡμῖν πεμφθέντα.

**Ἦχος βαρὺς**

Διὰ τούτου γὰρ ἡ παγγενὴς τῶν Ἐθνῶν, σωτηρία γέγονε, ὃν εὐφημοῦντες οὐ παυσώμεθα, καὶ τούτου ἄξιον γέρας, ἀπονέμειν ἀδύνατον.

**Ἦχος δ'**

Τούτου γὰρ τὸ ὑπερβάλλον, ὑπερέχει πᾶσαν ἔννοιαν.

**Ἦχος πλ. δ'**

Διὸ ἔνδοξε, καὶ οὐρανόκλητε Παῦλε, ἀεὶ σὺν τῇ Μητρὶ τοῦ Θεοῦ, καὶ χάριν νέμεις, πρέσβευε διηνεκῶς, περιφρουρεῖσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας, τὴν νεολαίαν σου, τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα.

**Ἦχος α'**

Εἰς τοὺς αἰῶνας, ἀγλαοφανῶς, μακαρίζοντες.

***Εἴσοδος.—Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας.***

ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ. ***Ἤτοι, δύο Ἀπόστολοι καὶ τὸ Ἱερὸν Εὐαγγέλιον.***

***Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.***

Ἐν ταῖς ἡμέραις ἐκείναις, διοδεύσαντες οἱ Ἀπόστολοι τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ Συναγωγὴ τῶν Ἰουδαίων. Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ Σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν Γραφῶν διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς ὃν ἐγὼ καταγγέλλω ὑμῖν. Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι, Ζηλώσαν-

ΤΟΥ ΠΑΥΛΟΥ, ΤΑ ΕΠΟΜΕΝΑ ΤΡΙΑ.—ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

**Ἦχος α'. Πανεύφημοι μάρτυρες.**

Λαμπρύνεται Βέρροια φαιδρῶς, πᾶσα ἡ τιμῶσά σε, καὶ μεγαλύνει τὴν δόξαν σου, καὶ γὰρ ἀπήλαυσε, τῶν σῶν διδαγμάτων, πλουσίως Ἀπόστολε, καὶ πάντων τῶν Ἀγγέλων συνόμιλε, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πανεύφημε Παῦλε τοῦ Χριστοῦ, μάρτυς καὶ Ἀπόστολε, σὲ ὁ Χριστὸς ἐξελέξατο, ὡς σκεῦος τίμιον, εἰς τὰ ἔθνη πέμψας, ἐπιστρέφειν ἅπαντα, ἐκ σκότους πρὸς τὸ φῶς τὸ ἀνέσπερον, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Προσέλθωμεν πίστει ἀκλινεῖ, πάντες ὦ φιλέορτοι, καὶ ἐν χαρᾷ ἐκβοήσωμεν, τῷ Παντοκράτορι, ἐν ᾠδαῖς καὶ ὕμνοις τῷ Κυρίῳ ᾄδοντες, τιμῶντες γὰρ αὐτοῦ τὸν Ἀπόστολον, Παῦλον τὸν ἔνθεον. Μακεδόνων ἡ ἀντίληψις, καὶ Βερροίας, δόξα καὶ ἀγλάϊσμα.

**Δόξα καὶ νῦν. Ὀκτάηχον**

**Ἦχος α'. Θεαρχίῳ νεύματι.** ΥΠΟ ΙΩ. ΑΛΕΞΑΚΗ

Οὐρανίῳ νεύματι, σήμερον ὁ Θεοφόρος Ἀπόστολος, εἰς Οὐρανὸν, μεταρσίως αἰρόμενος.

**Ἦχος πλ. α'.**

Καταλαβόντες τὸν πανένδοξον, καὶ μεγαλορρήμονα Παῦλον ἐξόχως ἠσπάζοντο.

**Ἦχος β'.**

Αἱ δὲ ὑπέρτατοι τῶν Βερροιαίων τάξεις, τῷ Θεορρήμονι Παύλῳ παραγενόμεναι.

**Ἦχος πλ. β'.**

Τὸν Θεοφόρον καὶ ἀξιύμνητον Παῦλον προπέμποντες, τῷ δέει κρατούμενοι, εὐσεβοφρόνως τε γεραίροντες τὸν τοῦ Χριστοῦ ὑπηρέτην, καὶ εὐχαρίστως ἐβόων, ταῖς ἀνωτέραις χοροστασίαις, ἰδοὺ ὁ μακάριος, Παῦλος νῦν προτίθεται.





**Ἦχος γ'.**

Ἄρωμεν τοίνην τὰς χεῖρας, καὶ τοῦτον ὑποδεξώμεθα, ὡς οὐρανόθεν ἡμῖν πεμφθέντα.

**Ἦχος βαρὺς**

Διὰ τούτου γὰρ ἡ παγγενὴς τῶν Ἐθνῶν, σωτηρία γέγονε, ὃν εὐφημοῦντες οὐ παυσώμεθα, καὶ τούτου ἄξιον γέρας, ἀπονέμειν ἀδύνατον.

**Ἦχος δ'**

Τούτου γὰρ τὸ ὑπερβάλλον, ὑπερέχει πᾶσαν ἔννοιαν.

**Ἦχος πλ. δ'**

Διὸ ἔνδοξε, καὶ οὐρανόκλητε Παῦλε, ἀεὶ σὺν τῇ Μητρὶ τοῦ Θεοῦ, καὶ χάριν νέμεις, πρέσβευε διηνεκῶς, περιφρουρεῖσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας, τὴν νεολαίαν σου, τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα.

**Ἦχος α'**

Εἰς τοὺς αἰῶνας, ἀγλαοφανῶς, μακαρίζοντες.

***Εἴσοδος.—Τὸ Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας.***

ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ. ***Ἤτοι, δύο Ἀπόστολοι καὶ τὸ Ἱερὸν Εὐαγγέλιον.***

***Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.***

Ἐν ταῖς ἡμέραις ἐκείναις, διοδεύσαντες οἱ Ἀπόστολοι τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ Συναγωγὴ τῶν Ἰουδαίων. Κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθε πρὸς αὐτούς, καὶ ἐπὶ Σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν Γραφῶν διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς ὃν ἐγὼ καταγγέλλω ὑμῖν. Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πολὺ πλῆθος, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι, Ζηλώσαν-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τες δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηροὺς καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον. Μὴ εὑρόντες δὲ αὐτούς, ἔσυρον τὸν Ἰάσωνα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας βοῶντες· Ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες οὗτοι καὶ ἐνθάδε πάρεισιν, οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράττουσι, βασιλέα, λέγοντες ἕτερον εἶναι, Ἰησοῦν. Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα· καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος καὶ τῶν λοιπῶν ἀπέλυσαν αὐτούς.

Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον καὶ Σίλαν εἰς **Βέρροιαν,** οἵτινες παραγενόμενοι εἰς τὴν συναγωγὴν ἀπῄεσαν τῶν Ἰουδαίων, οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας τὸ καθ᾽ ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς εἰ ἔχει ταῦτα οὕτως. Πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων καὶ ἀνδρῶν οὐκ **ὀλίγοι**. Ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς **Θεσσαλονίκης** Ἰουδαῖοι ὅτι καὶ ἐν τῇ **Βερροίᾳ** κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους, εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν· ὑπέμενον δὲ ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ, οἱ δὲ καθιστῶντες τὸν Παῦλον ἤγαγον αὐτὸν ἕως **Ἀθηνῶν,** καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξῄεσαν.

*Πρὸς Θεσσαλονικεῖς Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.*

Ἀδελφοί, ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ, μετὰ χαρᾶς πνεύματος ἁγίου· **ὥστε γενέσθαι ὑμᾶς τύπος πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ τῇ Ἀχαΐᾳ**· ἀφ᾽ ἡμῶν γὰρ ἐξήχηται ὁ **λόγος τοῦ Κυρίου οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ Ἀχαΐᾳ,** ἀλλὰ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. Αὐτοὶ γὰρ περὶ ὑμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔχομεν πρὸς ὑμᾶς καὶ πῶς ἐπε-





στρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ. καὶ ἀναμένειν τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς ἐρχομένης.

ΕΥΑΓΓΕΛΙΟΝ.—**Ἐκ τοῦ κατὰ Ἰωάννην.**

(ιβ΄. 17—50).

Τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρει ὁ ὄχλος, ὁ ὢν μετὰ τοῦ Ἰησοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. Οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς. Θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν. **Ἦσαν δέ τινες Ἕλληνες** ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτόν, λέγοντες· Κύριε θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. Ἔρχεται Φίλιππος, καὶ λέγει τῷ Ἀνδρέᾳ καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς, λέγων. Ἐλήλυθεν ἡ ὥρα, ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου.

ΑΠΟΣΤΙΧΑ. **Ἦχος α΄.** ΑΝΔΡΕΟΥ ΚΡΗΤΗΣ

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τίς διηγήσεται ἔνδοξε Ἀπόστολε Παῦλε; ἢ τίς παραστήσῃ τοὺς ἀγῶνας, καὶ τοὺς κόπους σου, οὓς ἐκοπίασας ἐν τῷ Εὐαγγελίῳ τοῦ ΧΡΙΣΤΟΥ ἵνα κόσμῳ κερδίσῃς καὶ ΧΡΙΣΤΩ προσαγάγῃς τὴν ΕΚΚΛΗΣΙΑΝ, ἀλλὰ ταύτην αἴτησαι φυλάττειν τὴν καλήν σου ὁμολογίαν μέχρι τελευταίας ἀναπνοῆς, ΠΑΥΛΕ ΑΠΟΣΤΟΛΕ, καὶ διδάσκαλε τῶν ΕΚΚΛΗΣΙΩΝ.

ΣΤΙΧ.—**Εἰς πᾶσαν τὴν γῆν.**

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου τίς διηγήσεται ἔνδοξε ΑΠΟΣΤΟΛΕ ΠΑΥΛΕ; τοὺς κόπους, τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ γυμνότητι, τὴν σαργάνην, τοὺς ῥαβδισμούς, τοὺς λιθασμούς τὴν περίοδον, τὸν βυθόν, τὰ ναυάγια, θέατρον ἐγένου καὶ ἀγγέλοις καὶ ἀνθρώποις.



ΒΕΝΙΑΜΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΩΡ ΑΝΤΩΝΙΟΣ ΠΑΠΑΣΤΡΑΤΟΣ

Πάντα οὖν ὑπέμεινας ἐν τῷ ἐνδυναμοῦντι σε ΧΡΙΣΤΩ, ἵνα κόσμον κερδίσῃς, ἐν ΧΡΙΣΤΩ ΙΗΣΟΥ τῷ Κυρίῳ σου. Δι' ὃ δυσωποῦμέν σέ, οἱ τελοῦντες τὴν μνήμην σου, πιστῶς, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Δόξα. Ἦχος πλ. α'.**

Δεῦτε Βερροιαίων τὰ πλήθη, δεῦτε φιλαποστόλων ὁμήγυρις. δεῦτε καταστέψωμεν ᾄσμασιν τὸν θεηγόρον, καὶ ὑπηρέτην τοῦ λόγου Παῦλον τὸν ἀΐδιμον. Σήμερον εὐφραίνονται πόλεις τῆς Ἑλλάδος αἱ δεξάμεναι αὐτόν, καὶ φωτισθεῖσαι ταῖς θείαις ὑψηγορίαις, ἀγάλονται Φίλιπποι, Θεσσαλονίκη, Βέρροια καὶ Ἀθῆναι αἱ περίλαμπροι. Κρήτη καὶ ιΝκόπολις καὶ Ἀχαΐα, καὶ ἡ ἔνδοξος Κόρινθος, καὶ πᾶσα ἡ οἰκουμένη. Διὸ καὶ ἡμεῖς οἱ δι' αὐτοῦ φωτισθέντες, πρὸς τὸν Σωτῆρα βοῶμεν. Κύριε πρεσβείαις τοῦ Ἀποστόλου, τὸν κόσμον εἰρήνευσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε καὶ δοξαζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

***Νῦν ἀπολύεις τὸν δοῦλόν σου.—Τρισάγιον.***

ΑΠΟΛΥΤΙΚΙΟΝ **Ἦχος δ.'**

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΤΟ ΑΠΟΛΥΤΙΚΙΟΝ ΤΟΥ ΠΑΥΛΟΥ

**Ἦχος γ'. Τὴν ὡραιότητα τῆς Παρθενίας σου.**

Σήμερον Βέρροια καταστολίζεται, ἐπὶ τῇ μνήμῃ σου Παῦλε Ἀπόστολε, καὶ δεξαμένη σὲ πιστῶς, βοᾷ σοι ἀκαταπαύστως. Ποῖα μὲν ἐγκώμια, σοὶ προσάγειν ἐπάξια; Τίνα δὲ ἐφύμνια σοὶ προσφέρειν



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἀπόστολε; Διὸ εὐχαριστοῦσα κραυγάζειν, σοι, χαῖρε, κρυπὶς τῶν Ἀποστόλων.

**Δόξα.** ΑΠΟΛΥΤΙΚΙΟΝ. **Ἦχος γ'.**

Ἀπόστολοι Ἅγιοι πρεσβεύσατε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ἦχος γ'.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ Σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ

---

## ΠΡΟΣ ΤΑ ΦΩΤΟΛΑΜΠΗ ΚΑΙ ΦΩΤΟΜΟΡΦΑ ΤΕΚΝΑ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

Τέκνα φωτολαμπῆ καὶ φωτόμορφα τῆς Ἐκκλησίας, δὲν λάμπει τόσον ὁ οὐρανὸς κεκοσμημένος διὰ τῶν ἀστέρων αὐτοῦ τῶν φωτεινῶν ὅσον ἀπαστράπτει καὶ ἀκτινοβολεῖ ἡ γῆ ἐστολισμένη διὰ τῶν γνησίων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ ΧΡΙΣΤΟΥ ὀπαδῶν.

Οὗτοι γὰρ δείκνυνται φάροι φαεινοί, τὰ πυκνὰ νέφη τῆς ἀσεβείας διαλύοντες καὶ ποταμοὺς ἀκτίνων Θεογνωσίας εἰς πάντας διαχέοντες.

Τοιούτους εὐχόμεθα ἔσεσθαι καὶ ὑμεῖς ὅπως διαλύσητε τὰ πυκνὰ νέφη τῆς ἀσεβείας, καὶ διαρρεύσητε ποταμοὺς ἀκτίνων Θεογνωσίας εἰς ἅπαντα τὸν κόσμον.

Πειραιεὺς τῇ 1 Ἰουνίου 1935.

Ο ΕΥΧΕΤΗΣ
ΔΗΜΗΤΡΙΟΣ ΧΑΡ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΣ
ΠΡΟΕΔΡΟΣ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

# ΥΠΟΜΝΗΜΑΤΑ

## ΑΠΟΣΤΑΛΛΕΝΤΑ ΚΑΤΑ ΔΙΑΦΟΡΟΥΣ ΕΠΟΧΑΣ ΕΙΣ ΤΗΝ ΚΥΒΕΡΝΗΣΙΝ ΙΕΡΑΝ ΣΥΝΟΔΟΝ ΚΛΠ.

# Ο ΜΕΓΑΣ ΘΡΙΑΜΒΟΣ ΤΗΣ ΧΡΙΣΤΙΑΝΙΚΗΣ ΕΛΛΑΔΟΣ

## ΠΡΟΣ ΤΗΝ Σην ΙΕΡΑΡΧΙΑΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ ΤΗΝ ΔΙΑΡΚΗ ΔΙΟΙΚΟΥΣΑΝ ΙΕΡΑΝ ΣΥΝΟΔΟΝ ΚΑΙ ΠΡΟΣ ΤΟΝ ΠΑΝΕΥΓΕΝΕΣΤΑΤΟΝ ΚΑΙ ΕΝΤΙΜΟΤΑΤΟΝ ΕΛΛΗΝΙΚΟΝ ΛΑΟΝ

**Σεβασμιώτατοι καὶ Πανευγενέστατοι.**

**Οἱ ἀρχαῖοι ἡμῶν πρόγονοι τῆς Ἐκκλησίας καὶ τοῦ Ἔθνους διέπρεψαν εἰς ὅλας τε τὰς ἀρετὰς καὶ εἰς τὰ γράμματα, τὰς τέχνας καὶ τὰς ἐπιστήμας καταστήσαντες τὸ Ἑλληνικὸν ὄνομα ὑπὲρ πᾶν ἄλλο ὄνομα, ἔνδοξον καὶ σεβαστὸν εἰς σύμπαντα τὸν πεπολιτισμένον κόσμον.**

### Η ΥΠΟΔΟΥΛΟΣ ΕΛΛΑΣ ΟΧΙ ΜΟΝΟΝ ΔΕΝ ΑΠΩΛΕΣΕ ΤΟ ΕΘΝΙΚΟΝ ΚΑΙ ΘΡΗΣΚΕΥΤΙΚΟΝ ΑΙΣΘΗΜΑ ΑΛΛΑ ΚΑΙ ΚΑΤΕΠΛΗΞΕ ΣΥΜΠΑΝΤΑ ΤΟΝ ΠΕΠΟΛΙΤΙΣΜΕΝΟΝ ΚΟΣΜΟΝ

Ἡ νεωτέρα Ἑλλὰς καίτοι περιβληθεῖσα κατὰ τὴν ἀποφράδα ἡμέραν τοῦ Μαΐου 1453 τὸν τῆς δουλείας μανδύαν καὶ ἀπωλέσασα τὸ θεῖον δῶρον τὴν ἐλευθερίαν, δὲν συναπώλεσεν ὅμως, Πατέρες, Ἅγιοι, τὰς δύο φωτοβόλους καὶ τηλαυγεῖς δᾶδας τὴν Θρησκείαν καὶ τὴν Παιδείαν, τὰς φωτιζούσας κατὰ τὰς σκοτεινὰς τῆς δουλείας ἡμέρας ἅπαν τὸ Ἑλληνικὸν γένος, ἀλλὰ διετήρησε καὶ διεφύλαξε ἀμείωτον καὶ ἀναλλοίωτον τὸ θρησκευτικὸν καὶ πατριωτικὸν αἴσθημα καὶ





ἀντλοῦσα τὰ διδάγματα ἐκ τῶν ἀκενώτων πηγῶν τῶν εὐκλεῶν ἡμῶν προγόνων παρεσκεύαζε τὴν ἐποποιΐαν τοῦ 1821 τὴν καταπλήξασαν μὲν σύμπασαν τὴν Εὐρώπην ἀποδώσασαν δὲ εἰς τοὺς ὑπὸ τὴν δουλείαν στενάζοντας τὴν Ἐλευθερίαν.

Τὴν παγκόσμιον ταύτην Ἑλληνικὴν εὔκλειαν τὴν κτηθεῖσαν δι᾽ αἵματος καὶ ἀπείρων θυσιῶν μὴ ἀνεχόμενοι οἱ καταχθόνιοι καὶ μοχθηροὶ ἐχθροὶ τῶν πατρίων καὶ δολοφόνοι τοῦ Ἑλληνισμοῦ καταβάλλουσι παντοῖα μέσα, ἵνα ἀμαυρώσωσιν αὐτήν, ἐμφανιζόμενοι ὑπὸ ποικίλλα ὀνόματα.

### ΖΗΤΟΥΣΙ ΝΑ ΚΑΤΑΡΡΙΨΩΣΙ ΤΗΝ ΑΛΗΘΙΝΗΝ ΘΡΗΣΚΕΙΑΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

**Ἡ προσπάθεια τῶν ποικιλλωνύμων τούτων τῆς Ἑλλάδος ἐχθρῶν Χριστιανομάχων καὶ Ἑλληνομάχων, πολεμίων τῶν πατρίων καὶ δολοφόνων τοῦ Ἑλληνισμοῦ** Ἑβραιο-Μαλλιαροχυδαϊστῶν, Ἑβραιο-Μασσόνων Ἑβραιο-Μπολσεβίκων, Ἑβραιο-Χιλιαστῶν, Ἑβραιο-Σοσιαλιστῶν, Ἑβραιο-Θεοσοφιστῶν, Ἑβραιο-Σαββατιστῶν, καὶ πολλῶν ἄλλων ἑβραϊκῶν προπαγανδῶν εἶναι, νὰ ἐκμηδενίσωσι καὶ ἐξαφανίσωσι τὴν Θρησκείαν τοῦ Γολγοθᾶ, τὴν Θρησκείαν τῆς ἀγάπης, τῆς εἰρήνης, τῆς προόδου καὶ τοῦ πολιτισμοῦ, τὴν ἀληθινὴν Θρησκείαν τοῦ Πανσόφου Διδασκάλου καὶ Σωτῆρος τῆς Ἀνθρωπότητος Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὴν ἀθάνατον καὶ θεοδώρητον Ἑλληνικὴν προγονικὴν γλῶσσαν, τοὺς δύο τούτους ἀρρήκτως συνδεδεμένους κρίκους τοὺς κρατήσαντας ἀδιάσπαστον τὸ Ἑλληνικὸν γένος κατὰ τοὺς χρόνους τῆς δουλείας.

### ΖΗΤΟΥΣΙ ΝΑ ΚΑΤΑΡΡΙΨΩΣΙ ΤΑΣ ΠΡΩΤΑΣ ΕΛΛΗΝΙΚΑΣ ΧΡΙΣΤΙΑΝΙΚΑΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΜΙΚΡΑΣ ΑΣΙΑΣ

**Ὁ σκοπὸς τῶν καταχθονίων συμμοριῶν** εἶναι νὰ σβέσωσι τὸ φῶς τῶν ἑπτὰ ἀστέρων, ἤτοι τὴν ἑπτάφωτον λυχνίαν τῶν πρώτων οἰκοδομηθεισῶν Ἑλληνικῶν Χριστιανικῶν Ἐκκλησιῶν τῆς Μικρᾶς Ἀσίας, Σμύρνης, Περγάμου, Ἐφέσου, Φιλαδελφείας, Θυατεί-

ρων. Λαοδικείας καὶ Σάρδεων, αἵτινες ἐφώτισαν τὴν οἰκουμένην, φωτίζουσι καὶ θὰ φωτίζωσιν αὐτὴν εἰς αἰῶνα τὸν ἅπαντα.

## ΖΗΤΟΥΣΙ ΝΑ ΚΑΤΑΡΡΙΨΩΣΙ ΤΑ ΟΥΡΑΝΙΑ ΚΑΙ ΠΑΓΚΟΣΜΙΑ ΕΡΓΑ ΤΩΝ ΘΕΗΓΟΡΩΝ ΑΠΟΣΤΟΛΩΝ ΚΑΙ ΤΩΝ ΑΓ. ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ

**Τὸ πρόγραμμα** τῶν Μαλλιαροχυδαϊστῶν καὶ δολοφόνων τοῦ Ἑλληνισμοῦ εἶναι νὰ ἐκμηδενίσωσι καὶ ἐξαφανίσωσι τὰ οὐράνια καὶ παγκόσμια ἔργα τῶν Θεηγόρων Ἀποστόλων καὶ τῶν Ἁγίων Πατέρων τῆς Ἐκκλησίας Βασιλείων, Χρυσοστόμων, Γρηγορίων, Διονυσίων, Ἀρεοπαγιτῶν, Σπυριδώνων, Ἀθανασίων, Δαμασκηνῶν καὶ λοιπῶν πατέρων τῆς Ἐκκλησίας τῶν πολυφώτων τούτων ἀστέρων τοῦ νοητοῦ στερεώματος τῶν ἀκαθαιρέτων πύργων τῆς Σιών, τῶν μυριπνόων ἀνθέων τοῦ Παραδείσου, τῶν παγχρύσων στομάτων τοῦ λόγου, οἵτινες ἐλάμπρυναν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ καὶ προήγαγον τὴν Χριστιανικὴν Ἑλλάδα νὰ φθάσῃ τόσον εἰς τὸ μεσουράνιμα τῆς δόξης καὶ τοῦ θριάμβου, ὅσον οὐδέποτε ἄλλοτε εἶχε φθάσῃ.

## ΖΗΤΟΥΣΙ ΝΑ ΚΑΤΑΡΡΙΨΩΣΙ ΤΟΝ ΠΑΡΘΕΝΩΝΑ ΚΑΙ ΤΗΝ ΑΚΡΟΠΟΛΙΝ

**Τὸ πρόγραμμα των μοχθηρῶν Ἑλληνομάχων** εἶναι νὰ καταρρίψωσι τὸν Παρθενῶνα καὶ τὴν Ἀκρόπολιν, αὐτὰ τὰ ἀριστουργήματα καὶ Ἱερὰ μνημεῖα τῆς Ἀρχαίας Τέχνης καὶ Ἐπιστήμης, τὰ μαρτυροῦντα τὸν ἐκ πάλαι Ἑλληνικὸν πολιτισμὸν καὶ χάριν τῶν ὁποίων κατ' ἔτος ἔρχονται χιλιάδες περιηγητῶν τῆς Οἰκουμένης καὶ ἐπισκέπτονται, θαυμάζουσι καὶ προσκηνοῦσιν αὐτά.

## ΖΗΤΟΥΣΙ ΝΑ ΒΕΒΗΛΩΣΩΣΙ ΚΑΙ ΔΙΑΦΘΗΡΩΣΙ ΤΗΝ ΑΘΑΝΑΤΟΝ ΚΑΙ ΘΕΟΔΩΡΗΤΟΝ ΕΛΛΗΝΙΚΗΝ ΓΛΩΣΣΑΝ

**Τὸ πρόγραμμα τῶν βδελυρῶν κτηνανθρώπων,** εἶναι νὰ βεβηλώσωσι καὶ διαφθείρωσι τὴν ἀθάνατον καὶ Θεοδώρητον Ἑλληνικὴν γλῶσσαν, τὴν γλῶσσαν τοῦ Εὐαγγελίου, τοῦ κάλλους, τῶν φώτων, τῆς φιλοσοφίας, τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν, καὶ εἰς τὴν ὁποίαν γλῶσσαν ἐγράφησαν ὅλα τὰ ἀριστουργήματα τοῦ ἀνθρωπίνου πνεύματος καὶ διετυπώθησαν αἱ τηλαυγεῖς ἀλήθειαι καὶ τὰ ὑψηλότερα θρησκευτικὰ καὶ κοινωνικὰ διδάγματα τῶν εὐκλεῶν ἡμῶν προγόνων, τὴν γλῶσσαν, ἣν θαυμάζει καὶ λατρεύει σύμπας ὁ πεπολιτισμένος κόσμος καὶ διδάσκει ὑποχρεωτικῶς εἰς ὅλα τὰ Πανεπιστήμια τῆς Οἰκουμένης καὶ εἰς τὴν ὁποίαν γλῶσσαν ἐγράφη ἡ μεγάλη καὶ περίδοξος ἱστορία του καὶ διὰ τῆς ὁποίας μετεδόθη εἰς τὸν κόσμον πᾶσα γνῶσις καὶ σοφία, ἐπιστήμη καὶ τέχνη, καὶ ὅτι ὑψηλὸν καὶ μέγα ἔχει νὰ ἐπιδείξῃ τὸ ἀνθρώπινον γένος καὶ τὴν ὁποίαν γλῶσσαν ἠσπάσθησαν ὅλοι οἱ Ἀπόστολοι τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ συνέγραψαν τὴν Καινὴν Διαθήκην.





## ΖΗΤΟΥΣΙ ΝΑ ΔΙΑΦΘΕΙΡΩΣΙ ΚΑΙ ΕΚΦΥΛΛΙΣΩΣΙ ΤΗΝ ΜΑΘΗΤΙΩΣΑΝ ΝΕΟΛΑΙΑΝ

**Ὁ σκοπὸς δὲ τῶν ἀπαισίων ἀνθρώπων καὶ νόθων διδασκάλων** καὶ καθηγητῶν δὲν εἶναι νὰ διδάξουν καὶ νὰ ἠθικοποιήσουν τοὺς μαθητὰς διὰ να τοὺς καταστήσουν Ἑλληνόπαιδας, τιμίους Χριστιανοὺς καὶ ἐναρέτους πολίτας, ἀλλὰ νὰ τοὺς διαφθείρωσι καὶ δηλητηριάσωσι τὴν ἁπαλὴν αὐτῶν ψυχὴν μὲ τὸ δηλητήριον τῆς ἀθεΐας, τῆς ἀνηθικότητος καὶ τῆς ἀπατριδοσύνης, ἀφαιροῦντες ἀπ' αὐτοὺς πᾶν Θρησκευτικὸν καὶ Πατριωτικὸν αἴσθημα καὶ νὰ τοὺς καταντήσουν ἀντάρτας καὶ Μπολσεβίκους διὰ νὰ μὴ γνωρίζουν Θρησκείαν, Πατρίδα καὶ Οἰκογένειαν. Πάντα ταῦτα προσπαθοῦσι οἱ ἄθεοι νὰ ἐπιτύχωσιν ἀπὸ τὸν διδάσκαλον ὅστις, καθ' ἑκάστην ἡμέραν ἔρχεται εἰς ψυχικὴν ἐπαφὴν μὲ ὅλους τοὺς μαθητιῶντας νέους καὶ νεάνιδας τῆς Ἑλλάδος, οἵτινες ὑπερβαίνουσι τὸ ἓν ἑκατομμύριον, ἐπίσης ἀπὸ τὸν διδάσκαλον ζητοῦν νὰ ἐπιτύχωσι τὴν μεταβολὴν τῆς ψυχοσυνθέσεως τοῦ λαοῦ, δηλαδὴ τὴν διαφθοράν, τὴν ἀκολασίαν καὶ νὰ τὸν καταντήσωσι εἰς κτηνώδη κατάστασιν.

## ΖΗΤΟΥΣΙ ΝΑ ΕΞΑΦΑΝΙΣΩΣΙ ΘΡΗΣΚΕΙΑΝ ΕΚΚΛΗΣΙΑΝ ΠΑΤΡΙΔΑ ΟΙΚΟΓΕΝΕΙΑΝ κλπ.

Καὶ ἀφοῦ ἐπιτύχωσιν, Ἅγιοι Πατέρες, πάντα ταῦτα, ἤτοι, τὴν κατάλυσιν τῆς Θρησκείας, τὸ κλείσιμον τῶν Ἐκκλησιῶν, συνεπείᾳ τοῦ ὁποίου θὰ εἶναι καὶ ὁ μὴ ἐκκλησιασμὸς τῶν Χριστιανῶν καὶ ἡ



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΕΣΤΟΡΗΣ ΠΑΠΑΣ

στέρησις πόρων πρὸς συντήρησιν τοῦ ἀνωτέρου καὶ κατωτέρου κλήρου ὡς τῆς Ῥωσσίας τότε θὰ ἐπιτύχωσι τὸν ἐξαφανισμὸν Ἐκκλησίας, Πατρίδος,Οἰκογενείας, Κοινωνίας, ἠθικῆς,γλώσσης καὶ τὴν μεταβολὴν τῆς ψυχοσυνθέσεως τοῦ λαοῦ κλπ. Θὰ γίνωσι κύριοι τοῦ πεδίου, κύριοι τῆς καταστάσεως καὶ ὄντως τότε θὰ ἐξαφανίσωσι τὸ ταχύτερον τὴν Ἑλλάδα ὡς Ἔθνος καὶ ὡς φυλήν, θὰ μᾶς καταντήσωσι Μπολσεβίκους, Βεδουΐνους, Συνεγαλέζους καὶ ἀγέλην ἀθιγγάνων, θὰ σαβανώσωσι δὲ καὶ τὴν τοῦ Ἑλληνισμοῦ τρισχιλιετῆ ἔνδοξον ἱστορίαν.

## ΟΙ ΜΑΛΛΙΑΡΟΙ ΕΙΝΑΙ ΜΠΟΛΣΕΒΙΚΟΙ ΦΑΝΕΡΟΙ

Πρὸς τούτοις, Πατέρες ἅγιοι, παρακολουθῶν τὰ τῆς Ἁγίας ἡμῶν Ἐκκλησίας πράγματα, μετὰ λύπης παρατηρῶ ὅτι ἐνῷ ἐπληροφορήθητε σαφέστατα ὅτι οἱ ἐκπαιδευτικοὶ καθηγηταὶ καὶ διδάσκαλοι Γλυνοί, Δελμοῦζοι καὶ Σια εἶναι ἀνατροπεῖς Θρησκείας, Πατρίδος, οἰκογενείας, ἠθικῆς, γλώσσης καὶ διαφθορεῖς τῆς νεολαίας καὶ πάσης κοινωνίας καὶ ἐξεδώσατε τὴν ἀπόφασιν τὸν Δεκέμβριον τοῦ 1929 κατ' αὐτῶν, ἐν τούτοις ἐκεῖ ἔνθα ἐξεδώσατε αὐτήν, ἐκεῖ ἐσαβανώθη καὶ ἐκεῖ ἐνεταφιάσθη.

## Ν' ΑΦΟΡΗΣΗΤΕ ΤΟΥΣ ΜΑΛΛΙΑΡΟΧΙΔΑ·Ι·ΣΤΑΣ

Ἀντὶ λέγω νὰ τοὺς ἀφορίσητε καὶ νὰ τοὺς περισυλλέξητε τὰ ἀνήθικα καὶ βλάσφημα κατὰ τῆς Θρησκείας, Πατρίδος, Οἰκογενείας, γλώσσης κλπ. βιβλία των καὶ νὰ καλέσητε τὸν Λαόν, ἵνα καύσητε αὐτὰ εἰς τὴν ἐν Ἀθήναις Πλατεῖαν Συντάγματος, δυστυχῶς ὑμεῖς ἀδιαφορεῖτε.

## ΝΑ ΚΛΕΙΣΟΥΝ ΑΙ ΕΚΚΛΗΣΙΑΙ ΕΙΣ ΔΙΑΜΑΡΤΥΡΙΑΝ

**Ἀντί, λέγω,νὰ κλείσητε τὰς Ἐκκλησίας καὶ νὰ μὴ λειτουργήσουν** μίαν Κυριακὴν καὶ νὰ κρούωσιν οἱ κώδωνες τῶν Ἐκκλησιῶν πενθίμως ὡς διαμαρτυρίαν καταστροφῆς τοῦ Ἔθνους καὶ τῆς Ἐκκλησίας, τῆς οἰκογενείας κλπ., ὑμεῖς ἀδιαφορεῖτε.

Ἀντί, λέγω, νὰ ἀναγινώσκωνται αἱ ἀποφάσεις τῆς Ἱεραρχίας κατὰ τῶν μαλλιαροχιδαϊστῶν κατὰ Κυριακὴν εἰς ὅλας τὰς Ἐκκλησίας ἡ Σεβαστὴ Ἱερὰ Σύνοδος σιωπᾷ καὶ ἀδιαφορεῖ.

ΔΑΠΑΝΑΙΣ : ΔΗΜ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΥ



## Η ΑΠΟΦΑΣΙΣ ΚΑΤΑ ΤΩΝ ΜΑΛΛΙΑΡΩΝ ΝΑ ΔΗΜΟΣΙΕΥΘΗ ΕΙΣ ΟΛΑΣ ΤΑΣ ΕΦΗΜΕΡΙΔΑΣ

Ἀντί, λέγω, ἡ Ἱερὰ Σύνοδος, ἥτις ἔχει τὴν ἐξουσίαν παρὰ Θεοῦ καὶ ἀνθρώπων νὰ κινήσῃ πάντα λίθον καὶ πᾶν ὄρος καὶ νὰ δημοσιεύεται ἡ ἀπόφασις εἰς ὅλας τὰς ἐφημερίδας ἐπὶ μῆνας, ἡ Σεβαστὴ Ἱεραρχία καὶ Ἱερὰ Σύνοδος καθεύδει.

## ΟΛΙΓΑΣ ΕΠΟΧΑΣ ΕΧΕΙ ΝΑ ΔΕΙΞΗ Η ΠΑΓΚΟΣΜΙΟΣ ΙΣΤΟΡΙΑ.—ΤΟ ΤΡΑΓΙΚΟΝ ΦΑΙΝΟΜΕΝΟΝ

**Πρὸς τούτοις, Ἅγιοι Πατέρες, Σεβαστὴ Κυβέρνησις καὶ Πανευγενέστατε Ἑλληνικὲ Λαέ, ἐὰν καλῶς καὶ ἐπισταμένως ἐξετάσητε τὰ πράγματα τῆς Ἐκκλησίας καὶ τοῦ Ἔθνους ἡμῶν, θὰ παρασταθῇ τὸ ἐξῆς ἀπείρως τραγικὸν φαινόμενον, ὅτι ὀλίγας ἐποχὰς δύναται νὰ δείξῃ ἡ παγκόσμιος ἱστορία ὁμοίας πρὸς τὴν σημερινὴν καὶ ἡ τοῦ πνεύματος ὑμῶν λογικότης θὰ παραδεχθῇ ὅτι μέγα ὄντως ἐπαπειλεῖται ναυάγιον, ἐὰν μὴ σύντονος ἐνέργεια καὶ πρόνοια παρ' ὑμῶν ληφθῇ.**

## Η ΕΚΠΟΙΗΣΙΣ Η ΕΞΑΦΑΝΙΣΙΣ ΚΑΙ Η ΡΕΥΣΤΟΠΟΙΗΣΙΣ ΤΩΝ ΙΕΡΩΝ ΜΟΝΩΝ

Πρὸς τούτοις, Σεβασμιώτατοι Πατέρες, γνῶτε ὅτι τὰς Ἱερὰς Μονὰς καὶ τὴν ἁγίαν τοῦ ΧΡΙΣΤΟΥ Ἐκκλησίαν τὰς ἐσεβάσθη καὶ τὰς ἐπροσκύνα ὁ ἀπολίτιστος καὶ βάρβαρος κατακτητὴς ἐπὶ ἓξ ἤδη ἑκατονταετηρίδας ἀφ' ὅτου ἔπεσεν ἀπὸ τοὺς Βυζαντινοὺς ἡ Σμύρνη ἡ περικαλλὴς νύμφη τῆς Ἰωνίας χωρὶς νὰ τὰς θίξῃ καὶ νὰ θέσῃ χεῖρα βέβηλον, οὐδὲ νὰ τὰς ἐκποιήσῃ, οὐδὲ νὰ τὰς ἀπαλλοτριώσῃ, οὐδὲ νὰ τὰς ρευστοποιήσῃ, οὐδὲ νὰ σκεφθῇ τὸ τοιοῦτον ποτέ, ἀλλὰ δυστυχῶς σήμερον παρουσιάσθησαν χεῖρες βέβηλοι, ἡ Κυβέρνησις, ὁ Ὑπουργὸς τῶν Ἐκκλησιαστικῶν καί τινες Ἀρχιερεῖς ἀγνοοῦντες τὰ καθήκοντά των, οἵτινες ὑπὸ τὸ πρόσχημα τῆς μισθοδοτήσεως τοῦ ἀνωτέρου Κλήρου ἀπαλοτρίωσαν ρευστοποιήσαντες τὰ κτήματα τῶν Ἱερῶν Μονῶν

ΠΡΟΕΔΡΟΥ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ.

ὑπὲρ τὸ ἑκατομμύριον στρεμμάτων, καταφαγόντες ὑπὲρ τὸ δισσεκατομμύριον δραχμῶν, ἀποδώσαντες εἰς τὸν εἰς ὃν ἐπρόκειτο σκοπὸν 87 μόνον ἑκατομμύρια, καὶ τὰ κτήματα ἀντὶ νὰ δοθῶσι εἰς τοὺς ἀκτήμονας περιῆλθον εἰς τοὺς μεγαλοκαρχαρίας.

## Η ΑΜΑΡΤΙΑ ΕΠΛΕΩΝΑΣΕ Η ΠΙΣΤΙΣ ΕΨΥΧΡΑΝΘΗ ΚΑΙ Ο ΦΟΒΟΣ ΤΟΥ ΙΕΡΟΥ ΕΥΑΓΓΕΛΙΟΥ ΕΚΡΥΒΗ

Σεβασμιότατοι καὶ ἐντιμότατε Λαὲ τῆς Ἑλλάδος, Σήμερον ἡ ἁμαρτία ἐπλεώνασε καὶ ἡ πίστις ἐψυχράνθη καὶ ὁ φόβος τοῦ Ἱεροῦ Εὐαγγελίου ἐκρύβη, διὰ τοῦτο ἡ εὐτυχία τῆς κοινωνίας ἀπώλετο καὶ ἡ εἰρήνη τοῦ Ἔθνους μας ἀνεχώρησε. Διὰ πάντα ταῦτα σοβαρὰν εὐθύνην ἔχουσιν οἱ Ἄρχοντες τοῦ Λαοῦ, τῆς Ἐκκλησίας καὶ τῆς Ἐκπαιδεύσεως, οἵτινες ὡς ἄλλοι Αἴολοι ἀπέλυσαν τοὺς ἀγρίους ἀνέμους τῆς κακίας καὶ τὰς λαίλαπας τῆς διαφθορᾶς τῶν ἀνουσιουργημάτων καὶ ὡδήγησαν τὸν δυστυχῆ λαὸν εἰς τὴν ἀναρχίαν καὶ εἰς τὴν ὁδὸν τῆς μαύρης δουλωσύνης καὶ μᾶς ἔρριψαν εἰς ἀνεπανόρθωτον καταστροφήν, καὶ οἱ Σεβασμιώτατοι Ἀρχιερεῖς οἵτινες καθεύδουσι τὸν νήδυμον ὕπνον τῆς καθ' ὅλου ἀδιαφορίας διὰ τὸ ποίμνιον αὐτῶν τὸ ὁποῖον σήμερον κατασπαράζεται ἐλευθέρως ἀπὸ τοὺς βαρεῖς λυσσαλέους καὶ προβατοσχήμους λύκους.

## Ω ΒΕΒΗΛΟΙ ΕΧΘΡΟΙ ΤΗΣ ΘΡΗΣΚΕΙΑΣ ΚΑΙ ΤΟΥ ΕΛΛΗΝΙΣΜΟΥ Ο ΠΕΡΙΟΥΣΙΟΣ ΛΑΟΣ ΤΟΥ ΚΥΡΙΟΥ ΔΕΝ ΘΑ ΚΑΤΑΠΕΣΗ

Ὦ βέβηλοι, ἐχθροὶ τῆς Θρησκείας καὶ τοῦ Ἑλληνισμοῦ!!

Πληροφορηθῆτε ὅτι ἡ Ἑλλάς, ὁ περιούσιος λαὸς τοῦ Κυρίου δὲν θὰ καταπέσῃ, θὰ ἀνυψωθῇ!! Δὲν θὰ σμικρυνθῇ, θὰ μεγαλυνθῇ!! Δὲν θὰ ἐξουθενωθῇ, θὰ τιμηθῇ καὶ θὰ βαδίσῃ τὸν δρόμον πρὸς τὴν δόξαν καὶ εὐτυχίαν καὶ θὰ ἀξιωθῶμεν νὰ ἴδωμεν τὴν ἔνδοξον Ἀνάστασιν συμπάσης τῆς Ἑλληνικῆς Φυλῆς!!

**Εὐσεβέστατε Ἑλληνικὲ Λαέ,** πρέπει ν' ἀδιαφορήσωμεν καὶ νὰ κοιμηθῶμεν, νὰ ἀφήσωμεν ἐλευθέρους τοὺς ἐθνοκτόνους καὶ δολοφόνους τοῦ Ἑλληνισμοῦ Μαλλιαροχυδαϊστάς, νὰ μᾶς ἐκμηδενίσουν καὶ μᾶς ἐξαφανίσσουν ὡς Ἔθνος καὶ ὡς Φυλήν; Ὄχι





## ΑΙ ΕΒΡΑΪΚΑΙ ΠΡΟΠΑΓΑΝΔΑΙ

Πρέπει νὰ ἀφήσωμεν τὰς ξένας Ἑβραϊκὰς προπαγάνδας ὡς λυσσαλέοι λύκοι νὰ μᾶς κατασπαράξουν καὶ νὰ μᾶς διαλύσουν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα;

Δι' ὄνομα τοῦ Θεοῦ. Ὄχι!

## ΠΡΕΠΕΙ ΝΑ ΑΝΑΛΑΒΩΜΕΝ ΤΟΝ ΚΑΛΛΙΝΙΚΟΝ ΑΓΩΝΑ ΚΑΙ ΝΑ ΚΑΥΣΩΜΕΝ ΤΑ ΜΑΛΛΙΑΡΑ ΚΑΙ ΑΝΙΘΗΚΑ ΒΙΒΛΙΑ ΚΑΙ ΝΑ ΚΑΘΑΡΙΣΘΗ Η ΚΟΠΡΟΣ ΤΟΥ ΑΥΓΕΙΟΥ

Νὰ καύσωμεν τὰ μαλλιαρὰ καὶ ἀνήθικα, ἀντεθνικὰ καὶ ἀντιθρησκευτικὰ βιβλία, τὰ ἐμπαίζοντα τὴν Γέννησιν καὶ τὴν Σταύρωσιν τοῦ ΧΡΙΣΤΟΥ, ὡς καὶ τὴν Ὑπεραγίαν Θεοτόκον. Βιβλία ἐννοῶ τὰ ἐγκεκριμμένα παρὰ τοῦ Ὑπουργείου διὰ τὰ Σχολεῖα. Νὰ καθαρίσωμεν τὴν κόπρον τοῦ Αὐγείου ἀπὸ τὰ Σχολεῖα καὶ νὰ ἐπιβληθῶμεν εἰς τὴν Κυβέρνησιν νὰ τιμωρήσῃ ἀμειλήκτως καὶ παραδειγματικῶς τοὺς μαλιαροχυδαϊστὰς καὶ ἀποβάλῃ τοὺς ἀνηθίκους Καθηγητὰς καὶ Διδασκάλους ἀπὸ τὰ Πανεπιστήμια καὶ ἀπὸ τὰ Σχολεῖα, ἀπὸ τὸ Ὑπουργεῖον τῆς Παιδείας καὶ ἀπὸ ὅλα τὰ Ὑπουργεῖα καὶ Δημόσια Γραφεῖα.

## ΑΡΧΟΝΤΕΣ ΤΟΥ ΕΘΝΟΥΣ ΚΑΙ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ Ο ΘΕΟΣ ΘΑ ΚΑΤΑΦΕΡΗ ΑΜΕΙΛΙΚΤΟΝ ΤΟΝ ΠΕΛΕΚΥΝ ΚΑΤΑ ΤΩΝ ΚΕΦΑΛΩΝ ΣΑΣ

Γνῶτε ὅτι ὁ Θεὸς θὰ εἶναι ἐπιεικὴς εἰς τοὺς ἀγραμμάτους καὶ ἀγνοοῦντας τὰς Γραφάς, εἰς δὲ τοὺς γνώντας καὶ ἀγερόχως περιφρονοῦντας αὐτὰς μάλιστα δὲ εἰς καθηγητάς, διδασκάλους καὶ δὴ λειτουργοὺς τοῦ Ὑψίστου θὰ εἶναι ἀνοικτήρμων καὶ θὰ καταφέρῃ ἀμείλικτον τὸν πέλεκυν ἐπὶ τῶν κεφαλῶν αὐτῶν.

Πειραιεὺς 1 Ἰουνίου 1935.

***Ὁ ἀγωνιζόμενος ὑπὲρ Θρησκείας, Πατρίδος, Οἰκογενείας, Γλώσσης κλπ. πολεμούμενος δὲ ὑπό τινων κληρικῶν καὶ ὑπὸ τῶν ἀντιχρίστων καὶ δολοφόνων τοῦ Ἑλληνισμοῦ Μαλλιαροχυδαϊστῶν.***

Εὐπειθέστατον τέκνον τῶν Ὑμετέρων Σεβασμιοτήτων

**ΔΗΜΗΤΡΙΟΣ ΧΑΡ. ΓΙΑΝΝΑΚΟΠΟΥΛΟΣ**

ΠΡΟΕΔΡΟΣ ΤΩΝ ΖΗΛΩΤΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ

# ΠΕΡΙΕΧΟΜΕΝΑ


1ον Ὁ πρόλογος — Σελὶς 5- 8

2ον Πρόγραμμα τῆς πρώτης Ἑορτῆς — » 9-

3ον Ἀκολουθία τοῦ Ἀποσ. Παύλου Ἀρείου Πάγου Ἀθ. — » 11-17

4ον Ἀκολουθία » » » τῆς Κορίνθου — » 18-24

5ον Ἀκολουθία » » » τῆς Νικοπόλεως — » 25-29

6ον Ἀκολουθία Παύλου καὶ Τίτου τῆς Κρήτης — » 30-36

7ον Ἀκολουθία » » » τῆς Θεσσαλονίκης — » 37-42

8ον Ἀκολουθία » » » τῶν Φιλίππων — » 43-48

9ον Ἀκολουθία » » » τῆς Βερροίας — » 49-55

10ον Τέκνα φωτολαμπῆ καὶ φωτόμορφα τῆς Ἐκκλησίας — » 55

11ον Ὑπομνήματα πρὸς τὴν Κυβέρνησιν καὶ Ἱ. Σύνοδον — » 56-63

12ον Ἀπολυτίκιον.-Ὁ Θεσπέσιος τῶν Ἀποστόλων Φίλιππος — » 64


ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

## ΕΓΚΩΜΙΟΝ ΤΩΝ ΕΛΛΗΝΩΝ

**Τὸ παρὸν Ἀπολυτίκιον Ἦχος γ΄.**
**Ψάλλεται καὶ εἰς τὰς ἑπτὰ ἀκολουθίας.**

Ὁ Θεσπέσιος τῶν Ἀποστόλων Φίλιππος, πρὸ τοῦ Τιμίου Σου Σταυροῦ καὶ τοῦ πάθους, διακονῶν σὲ Χριστέ, προσελθὼν ἐβόα σοι. Κύριε, Ἕλληνες εἰδεῖν σε θέλουσιν, ὧδε παραμένοντα. Σὺ δὲ καρδιογνῶστα, ἐβόας τοῖς μαθηταῖς σου. Ὦ φίλοι μου πιστοί, Ἐλήλυθεν ἡ ὥρα ὅπως δοξασθῶ, καὶ δοξάσω ἀπαύστως, τοὺς εἰς ἐμὲ πιστεύοντας.